UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Kirchengeschichte

### Eusebius <Caesariensis>

### Leipzig, 1908

Δ

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2093

Visual Library

## Δ

*Τάδε καὶ ἡ τετάρτη περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας*

Α Τίνες ἐπὶ τῆς Τραϊανοῦ βασιλείας Ῥωμαίων γεγόνασι καὶ Ἀλεξανδρέων ἐπίσκοποι.

Β Ὁποῖα Ἰουδαῖοι κατ᾽ αὐτὸν πεπόνθασιν.

Γ Οἱ κατὰ Ἀδριανὸν ὑπὲρ τῆς πίστεως ἀπολογησάμενοι.

Δ Οἱ κατ᾽ αὐτὸν Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐπίσκοποι.

Ε Οἱ ἀνέκαθεν ἀπὸ τοῦ σωτῆρος καὶ ἐπὶ τοὺς δηλουμένους Ἱεροσολύμων ἐπίσκοποι.

ς Ἡ κατὰ Ἀδριανὸν ὑστάτη Ἰουδαίων πολιορκία.

Ζ Τίνες κατ᾽ ἐκεῖνο καιροῦ γεγόνασιν ψευδωνύμου γνώσεως ἀρχηγοί.

Η Τίνες ἐκκλησιαστικοὶ συγγραφεῖς.

Θ Ἐπιστολὴ Ἀδριανοῦ ὑπὲρ τοῦ μὴ δεῖν ἀκρίτως ἡμᾶς ἐλαύνειν.

Ι Τίνες ἐπὶ τῆς Ἀντωνίνου βασιλείας ἐπίσκοποι Ῥωμαίων καὶ Ἀλεξανδρέων γεγόνασιν.

ΙΑ Περὶ τῶν κατ᾽ αὐτοὺς αἱρεσιαρχῶν.

ΙΒ Περὶ τῆς Ἰουστίνου πρὸς Ἀντωνῖνον ἀπολογίας.

ΙΓ Ἀντωνίνου πρὸς τὸ κοινὸν τῆς Ἀσίας ἐπιστολὴ περὶ τοῦ καθ᾽ ἡμᾶς λόγου.

ΙΔ Τὰ περὶ Πολυκάρπου τοῦ τῶν ἀποστόλων γνωρίμου μνημονευόμενα.

ΙΕ Ὅπως κατὰ Οὐῆρον ὁ Πολύκαρπος ἅμ᾽ ἑτέροις ἐμαρτύρησεν ἐπὶ τῆς Σμυρναίων πόλεως.

Ις Ὅπως Ἰουστῖνος ὁ φιλόσοφος τὸν Χριστοῦ λόγον ἐπὶ τῆς Ῥωμαίων πόλεως πρεσβεύων ἐμαρτύρησεν.

ΙΖ Περὶ ὧν Ἰουστῖνος ἐν ἰδίῳ συγγράμματι μνημονεύει μαρτύρων.

ΙΗ Τίνες εἰς ἡμᾶς ἦλθον τῶν Ἰουστίνου λόγων.

ΙΘ Τίνες ἐπὶ τῆς Οὐήρου βασιλείας τῆς Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐκκλησίας προέστησαν.

Κ Τίνες οἱ τῆς Ἀντιοχέων.

ΚΑ Περὶ τῶν κατὰ τούτους διαλαμψάντων ἐκκλησιαστικῶν συγγραφέων.
ΚΒ Περὶ Ἡγησίππου καὶ ὧν αὐτὸς μνημονεύει.
ΚΓ Περὶ Διονυσίου Κορινθίων ἐπισκόπου καὶ ὧν ἔγραψεν ἐπιστολῶν.
ΚΔ Περὶ Θεοφίλου Ἀντιοχέων ἐπισκόπου.
ΚΕ Περὶ Φιλίππου καὶ Μοδέστου.
Κς Περὶ Μελίτωνος καὶ ὧν αὐτὸς ἐμνημόνευσεν.
ΚΖ Περὶ Ἀπολιναρίου.
ΚΗ Περὶ Μουσανοῦ.
ΚΘ Περὶ τῆς κατὰ Τατιανὸν αἱρέσεως.
Λ Περὶ Βαρδησάνου τοῦ Σύρου καὶ τῶν φερομένων αὐτοῦ λόγων.

300 Ἀμφὶ δὲ τὸ δωδέκατον ἔτος τῆς Τραϊανοῦ βασιλείας ὁ μικρῷ A 1
πρόσθεν ἡμῖν τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας δηλωθεὶς ἐπίσκοπος τὴν ζωὴν μεταλλάττει, τέταρτος δ' ἀπὸ τῶν ἀποστόλων τὴν τῶν αὐτόθι λειτουργίαν κληροῦται Πρῖμος. ἐν τούτῳ καὶ Ἀλέξανδρος ἐπὶ Ῥώμης, ὄγδοον ἔτος ἀποπλήσαντος Εὐαρέστου, πέμπτην ἀπὸ Πέτρου καὶ Παύλου κατάγων διαδοχήν, τὴν ἐπισκοπὴν ὑπολαμβάνει.

Καὶ τὰ μὲν τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας τε καὶ ἐκκλησίας B 2 1
ὁσημέραι ἀνθοῦντα ἐπὶ μεῖζον ἐχώρει προκοπῆς, τὰ δὲ τῆς Ἰουδαίων συμφορᾶς κακοῖς ἐπαλλήλοις ἤκμαζεν. ἤδη γοῦν τοῦ αὐτοκράτορος εἰς ἐνιαυτὸν ὀκτωκαιδέκατον ἐλαύνοντος, αὖθις Ἰουδαίων κίνησις ἐπαναστᾶσα πάμπολυ πλῆθος αὐτῶν διαφθείρει. ἔν τε 2
γὰρ Ἀλεξανδρείᾳ καὶ τῇ λοιπῇ Αἰγύπτῳ καὶ προσέτι κατὰ Κυρήνην, ὥσπερ ὑπὸ πνεύματος δεινοῦ τινος καὶ στασιώδους ἀναρριπισθέντες, ὥρμηντο πρὸς τοὺς συνοίκους Ἕλληνας στασιάζειν, αὐξήσαντές τε εἰς μέγα τὴν στάσιν, τῷ ἐπιόντι ἐνιαυτῷ πόλεμον οὐ σμικρὸν συνῆψαν, ἡγουμένου τηνικαῦτα Λούπου τῆς ἁπάσης Αἰγύπτου. καὶ δὴ 3
ἐν τῇ πρώτῃ συμβολῇ ἐπικρατῆσαι αὐτοὺς συνέβη τῶν Ἑλλήνων· οἳ καὶ καταφυγόντες εἰς τὴν Ἀλεξάνδρειαν τοὺς ἐν τῇ πόλει Ἰουδαίους ἐζώγρησάν τε καὶ ἀπέκτειναν, τῆς δὲ παρὰ τούτων συμμαχίας ἀποτυχόντες οἱ κατὰ Κυρήνην τὴν χώραν τῆς Αἰγύπτου λεηλατοῦντες καὶ τοὺς ἐν αὐτῇ νομοὺς φθείροντες διετέλουν, ἡγουμένου αὐτῶν

1/2 236, 7 ff.

ATERBDMΣΛ

1 δὲ AERMΣ > TBD | 2 ἐπίσκοπος ATBDM κέρδων ἐπίσκοποσ ERΣΛ κέρδων als Scholion Trm | 5 ἀποπλήσαντοσ BDM ἀποπληρώσαντοσ ATER | 6 ὑπολαμβάνει TEBDM ἀπολαμβάνει AR | 7 τοῦ σρσ ἡμῶν BDMΣΛ χ̅υ̅ TER τοῦ σρσ ἡμῶν χ̅υ̅ A | 11 διαφθείρει T¹BD διέφθειρεν ATrERM | 16 λούπου BΛ λούππου ATERDM לופפוס Σ | 21 νομοὺς Dr *castella* Λ νόμουσ ATERBD¹MΣ

302 Λουκούα· ἐφ᾽ οὓς ὁ αὐτοκράτωρ ἔπεμψεν Μάρκιον Τούρβωνα σὺν
δυνάμει πεζῇ τε καὶ ναυτικῇ, ἔτι δὲ καὶ ἱππικῇ. ὃ δὲ πολλαῖς 4
μάχαις οὐκ ὀλίγῳ τε χρόνῳ τὸν πρὸς αὐτοὺς διαπονήσας πόλεμον,
πολλὰς μυριάδας Ἰουδαίων, οὐ μόνον τῶν ἀπὸ Κυρήνης, ἀλλὰ καὶ
τῶν ἀπ᾽ Αἰγύπτου συναιρομένων Λουκούᾳ τῷ βασιλεῖ αὐτῶν, ἀναι-
ρεῖ. ὁ δὲ αὐτοκράτωρ ὑποπτεύσας καὶ τοὺς ἐν Μεσοποταμίᾳ Ἰου- 5
δαίους ἐπιθήσεσθαι τοῖς αὐτόθι, Λουσίῳ Κυήτῳ προσέταξεν ἐκκα-
θᾶραι τῆς ἐπαρχίας αὐτούς· ὃς καὶ παραταξάμενος, πάμπολυ πλῆθος
τῶν αὐτόθι φονεύει, ἐφ᾽ ᾧ κατορθώματι Ἰουδαίας ἡγεμὼν ὑπὸ τοῦ
αὐτοκράτορος ἀνεδείχθη. ταῦτα καὶ Ἑλλήνων οἱ τὰ κατὰ τοὺς
αὐτοὺς χρόνους γραφῇ παραδόντες αὐτοῖς ἱστόρησαν ῥήμασιν.

Τραϊανοῦ δὲ ἐφ᾽ ὅλοις ἔτεσιν εἴκοσι τὴν ἀρχὴν μησὶν ἓξ δέουσιν Γ 3 1
κρατήσαντος, Αἴλιος Ἁδριανὸς διαδέχεται τὴν ἡγεμονίαν. τούτῳ
Κοδρᾶτος λόγον προσφωνήσας ἀναδίδωσιν, ἀπολογίαν συντάξας ὑπὲρ
τῆς καθ᾽ ἡμᾶς θεοσεβείας, ὅτι δή τινες πονηροὶ ἄνδρες τοὺς ἡμε-
τέρους ἐνοχλεῖν ἐπειρῶντο· εἰς ἔτι δὲ φέρεται παρὰ πλείστοις τῶν
ἀδελφῶν, ἀτὰρ καὶ παρ᾽ ἡμῖν τὸ σύγγραμμα· ἐξ οὗ κατιδεῖν ἔστιν
λαμπρὰ τεκμήρια τῆς τε τοῦ ἀνδρὸς διανοίας καὶ τῆς ἀποστολικῆς
ὀρθοτομίας. ὁ δ᾽ αὐτὸς τὴν καθ᾽ ἑαυτὸν ἀρχαιότητα παραφαίνει 2
δι᾽ ὧν ἱστορεῖ ταῦτα ἰδίαις φωναῖς

»τοῦ δὲ σωτῆρος ἡμῶν τὰ ἔργα ἀεὶ παρῆν ἀληθῆ γὰρ ἦν, οἱ
»θεραπευθέντες, οἱ ἀναστάντες ἐκ νεκρῶν, οἳ οὐκ ὤφθησαν μόνον
»θεραπευόμενοι καὶ ἀνιστάμενοι, ἀλλὰ καὶ ἀεὶ παρόντες, οὐδὲ ἐπι-
»δημοῦντος μόνον τοῦ σωτῆρος, ἀλλὰ καὶ ἀπαλλαγέντος ἦσαν ἐπὶ
304 »χρόνον ἱκανόν, ὥστε καὶ εἰς τοὺς ἡμετέρους χρόνους τινὲς αὐτῶν
»ἀφίκοντο«.

τοιοῦτος μὲν οὗτος· καὶ Ἀριστείδης δέ, πιστὸς ἀνὴρ τῆς καθ᾽ 3

21—S. 304, 2 Georg. Synk. 658, 8—13

ATERBDMΣΛ

1 vor *Μάρκιον* + *μαρκίων* durch Correctur $B^1$ | *τούρβωνα* ATER, $B^1$ corr., DMΛ *τ᾽οὔνομα* $B^1$ *den Tribunen* Σ | 7 *Lysiae* Hieron. chron. ol. 223, 3 *Λυσίαι* Synk. 657, 9 *λουκίω* ΠΣΛ | *κυήτω* A *Quieto* Λ קואטוס Σ *κούντω* $BD^1$ *κοίντω* $ERD^rM$ *κοήντω* Tr, $T^1T^c$ unleserlich; vgl. Prosop. imp. Rom. 2, 308 | 15 *δή τινεσ πονηροὶ* BD *δ᾽ ήτινεσ πονηροὶ* M *δὴ πονηροί τινεσ* ATER | 21 *γὰρ ἦν* voreusebianischer Fehler, *ΓΑΡΗΝ* falsche Wiederholung von *ΠΑΡΗΝ* | 22 *οἳ* ARDMΣ > TEB Synk | 24 *ἦσαν* vor Eus. interpolirt

3 *μὲν* BDM *μὲν οὖν* ATER

304 ἡμᾶς ὁρμώμενος εὐσεβείας, τῷ Κοδράτῳ παραπλησίως ὑπὲρ τῆς
πίστεως ἀπολογίαν ἐπιφωνήσας Ἁδριανῷ καταλέλοιπεν· σῴζεται δέ
γε εἰς δεῦρο παρὰ πλείστοις καὶ ἡ τούτου γραφή.
Ἔτει δὲ τρίτῳ τῆς αὐτῆς ἡγεμονίας Ἀλέξανδρος Ῥωμαίων ἐπί- Δ 4
σκοπος τελευτᾷ, δέκατον τῆς οἰκονομίας ἀποπλήσας ἔτος· Ξύστος
ἦν τούτῳ διάδοχος. καὶ τῆς Ἀλεξανδρέων δὲ παροικίας ἀμφὶ τὸν
αὐτὸν χρόνον Πρῖμον μεταλλάξαντα δωδεκάτῳ τῆς προστασίας ἔτει
διαδέχεται Ἰοῦστος.
Τῶν γε μὴν ἐν Ἱεροσολύμοις ἐπισκόπων τοὺς χρόνους γραφῇ Ε 5 1
σῳζομένους οὐδαμῶς εὑρὼν (κομιδῇ γὰρ οὖν βραχυβίους αὐτοὺς
λόγος κατέχει γενέσθαι), τοσοῦτον ἐξ ἐγγράφων παρείληφα, ὡς μέχρι 2
τῆς κατὰ Ἁδριανὸν Ἰουδαίων πολιορκίας πεντεκαίδεκα τὸν ἀριθμὸν
αὐτόθι γεγόνασιν ἐπισκόπων διαδοχαί, οὓς πάντας Ἑβραίους φασὶν
ὄντας ἀνέκαθεν, τὴν γνῶσιν τοῦ Χριστοῦ γνησίως καταδέξασθαι,
ὥστ᾽ ἤδη πρὸς τῶν τὰ τοιάδε ἐπικρίνειν δυνατῶν καὶ τῆς τῶν
ἐπισκόπων λειτουργίας ἀξίους δοκιμασθῆναι· συνεστάναι γὰρ αὐτοῖς
τότε τὴν πᾶσαν ἐκκλησίαν ἐξ Ἑβραίων πιστῶν ἀπὸ τῶν ἀποστόλων
καὶ εἰς τὴν τότε διαρκεσάντων πολιορκίαν, καθ᾽ ἣν Ἰουδαῖοι Ῥω-
μαίων αὖθις ἀποστάντες, οὐ μικροῖς πολέμοις ἥλωσαν. διαλελοι- 3
πότων δ᾽ οὖν τηνικαῦτα τῶν ἐκ περιτομῆς ἐπισκόπων, τοὺς ἀπὸ
πρώτου νῦν ἀναγκαῖον ἂν εἴη καταλέξαι. πρῶτος τοιγαροῦν Ἰά-
κωβος ὁ τοῦ κυρίου λεγόμενος ἀδελφὸς ἦν· μεθ᾽ ὃν δεύτερος Συ-
μεών· τρίτος Ἰοῦστος· Ζακχαῖος τέταρτος· πέμπτος Τωβίας· ἕκτος
Βενιαμίν· Ἰωάννης ἕβδομος· ὄγδοος Ματθίας· ἔνατος Φίλιππος· δέ-
306 κατος Σενέκας· ἑνδέκατος Ἰοῦστος· Λευὶς δωδέκατος· Ἐφρῆς τρισκαι-
δέκατος· τεσσαρεσκαιδέκατος Ἰωσήφ· ἐπὶ πᾶσι πεντεκαιδέκατος Ἰού-
δας. τοσοῦτοι καὶ οἱ ἐπὶ τῆς Ἱεροσολύμων πόλεως ἐπίσκοποι ἀπὸ 4
τῶν ἀποστόλων εἰς τὸν δηλούμενον διαγενόμενοι χρόνον, οἱ πάντες
ἐκ περιτομῆς. ἤδη δὲ δωδέκατον ἐχούσης ἔτος τῆς ἡγεμονίας, 5
Ξύστον δεκαέτη χρόνον ἀποπλήσαντα ἐπὶ τῆς Ῥωμαίων ἐπισκοπῆς
ἕβδομος ἀπὸ τῶν ἀποστόλων διαδέχεται Τελεσφόρος· ἐνιαυτοῦ δὲ

5 Robinson, Texts and Studies 1, 1 [= TU 9, 1. Zahn, Forsch. 5, 317]

ATERBDMΣΛ

8 ἀποπλήσασ ABDM ἀποπληρώσασ TER | 13 εὑρὼν BD εὗρον ATERMΣ | 14 τοσοῦτον $T^1$DM τοσούτων B τοσοῦτον δ᾽ A$T^c$$T^r$EΣ τοσοῦτο δ᾽ R | 18 ἐπικρίνειν A ἐγκρίνειν TERBDM | 25 μεθ᾽ ὃν ATERDMΛ > BΣ | 27 ματθαῖοσ D מתי Σ

5 ἡγεμονίασ TERBDMΣΛ ἡγεμονίασ ἀδριανοῦ A | 6 ἀποπληρώσαν-τα TER

306 *μεταξὺ καὶ μηνῶν διαγενομένου, τῆς Ἀλεξανδρέων παροικίας τὴν*
*προστασίαν Εὐμένης ἕκτῳ κλήρῳ διαδέχεται, τοῦ πρὸ αὐτοῦ ἔτεσιν*
*ἕνδεκα διαρκέσαντος.*

*Καὶ δῆτα τῆς Ἰουδαίων ἀποστασίας αὖθις εἰς μέγα καὶ πολὺ* ς 6 1
*προελθούσης, Ῥοῦφος ἐπάρχων τῆς Ἰουδαίας, στρατιωτικῆς αὐτῷ*
*συμμαχίας ὑπὸ βασιλέως πεμφθείσης, ταῖς ἀπονοίαις αὐτῶν ἀφειδῶς*
*χρώμενος ἐπεξῄει, μυριάδας ἀθρόως ἀνδρῶν ὁμοῦ καὶ παίδων καὶ*
*γυναικῶν διαφθείρων πολέμου τε νόμῳ τὰς χώρας αὐτῶν ἐξανδρα-*
*ποδιζόμενος. ἐστρατήγει δὲ τότε Ἰουδαίων Βαρχωχεβας ὄνομα,* 2
*ὃ δὴ ἀστέρα δηλοῖ, τὰ μὲν ἄλλα φονικὸς καὶ ληστρικός τις ἀνήρ,*
*ἐπὶ δὲ τῇ προσηγορίᾳ, οἷα ἐπ᾽ ἀνδραπόδων, ὡς δὴ ἐξ οὐρανοῦ φωστὴρ*
*αὐτοῖς κατεληλυθὼς κακουμένοις τε ἐπιλάμψαι τερατευόμενος. ἀκ-* 3
*μάσαντος δὲ τοῦ πολέμου ἔτους ὀκτωκαιδεκάτου τῆς ἡγεμονίας κατὰ*
*Βηθθηρα (πολίχνη τις ἦν ὀχυρωτάτη, τῶν Ἱεροσολύμων οὐ σφόδρα*
308 *πόρρω διεστῶσα) τῆς τε ἔξωθεν πολιορκίας χρονίου γενομένης λιμῷ*
*τε καὶ δίψει τῶν νεωτεροποιῶν εἰς ἔσχατον ὀλέθρου περιελαθέντων*
*καὶ τοῦ τῆς ἀπονοίας αὐτοῖς αἰτίου τὴν ἀξίαν ἐκτίσαντος δίκην, τὸ*
*πᾶν ἔθνος ἐξ ἐκείνου καὶ τῆς περὶ τὰ Ἱεροσόλυμα γῆς πάμπαν ἐπι-*
*βαίνειν εἴργεται νόμου δόγματι καὶ διατάξεσιν Ἁδριανοῦ, ὡς ἂν μηδ᾽*
*ἐξ ἀπόπτου θεωροῖεν τὸ πατρῷον ἔδαφος, ἐγκελευσαμένου· Ἀρίστων*
*ὁ Πελλαῖος ἱστορεῖ. οὕτω δὴ τῆς πόλεως εἰς ἐρημίαν τοῦ Ἰου-* 4
*δαίων ἔθνους παντελῆ τε φθορὰν τῶν πάλαι οἰκητόρων ἐλθούσης*
*ἐξ ἀλλοφύλου τε γένους συνοικισθείσης, ἡ μετέπειτα συστᾶσα Ῥω-*
*μαϊκὴ πόλις τὴν ἐπωνυμίαν ἀμείψασα, εἰς τὴν τοῦ κρατοῦντος*
*Αἰλίου Ἁδριανοῦ τιμὴν Αἰλία προσαγορεύεται. καὶ δὴ τῆς αὐτόθι*
*ἐκκλησίας ἐξ ἐθνῶν συγκροτηθείσης, πρῶτος μετὰ τοὺς ἐκ περι-*
*τομῆς ἐπισκόπους τὴν τῶν ἐκεῖσε λειτουργίαν ἐγχειρίζεται Μάρκος.*

ATERBDMΣΛ

8 *μηνὸσ* MΛ | *διαγενομένων* D | **11** *δῆτα* RD$^{r}$ *δὴ τὰ* ATEBD$^{1}$M | **16** *τότε ἰουδαίων* BD *τότε ἰουδαίων δεύτεροσ τηνικαῦτα* M *ἰουδαίων τηνικαῦτα* ATER | **17** *ὃ δὴ ἀστέρα δηλοῖ* BDMΛ *ἀστέρα δηλοῖ τοῦτο* A *ἀστέρα τοῦτο δηλοῖ* T$^{1}$ [T$^{c}$ getilgt] *ὃ δὴ ἀστέρα τοῦτο δηλοῖ* ER > Σ | *φονικὸσ καὶ ληστρικόσ τισ* BDMΣ *ληστρικὸσ καὶ φονικὸσ* ATER | **20** *ἡγεμονίασ* TERBDMΣΛ *ἡγεμονίασ ἀδριανοῦ* A | **21** *πολίχνη τὶσ* T [aus *πόλιννητὶσ* corr. T$^{1}$] ERBD [aus *πολίχνην τίσ* corr. D$^{r}$] Σ *πολίχνην ἥτισ* M *πόλιν ἥτισ* A

5 *νόμου ΠΣ diuinae legis Λ* vgl. Hieron. Eus$^{arm}$ ol. 228, 2 | *δόγματι* ABDΛ *δόγμασι* TERM | **6** *ἐγκελευσαμένου* ATERBD *ἐγκελευσαμένω* M *befahl* Σ, > Λ nach Conjectur | **7** *πελλαῖοσ* ABD$^{r}$ΣΛ *παλαιὸσ* TERD$^{1}$M | **8** *παντελῆ τε* BDM *παντελῆ* TER *καὶ παντελῆ* AT$^{r}$

308 Ἤδη δὲ λαμπροτάτων δίκην φωστήρων τῶν ἀνὰ τὴν οἰκου- Z 7 1
μένην ἀποστιλβουσῶν ἐκκλησιῶν ἀκμαζούσης τε εἰς ἅπαν τὸ τῶν
ἀνθρώπων γένος τῆς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν
Χριστὸν πίστεως, ὁ μισόκαλος δαίμων οἷα τῆς ἀληθείας ἐχθρὸς καὶ
τῆς τῶν ἀνθρώπων σωτηρίας ἀεὶ τυγχάνων πολεμιώτατος, πάσας
στρέφων κατὰ τῆς ἐκκλησίας μηχανάς, πάλαι μὲν τοῖς ἔξωθεν δι-
ωγμοῖς κατ᾽ αὐτῆς ὡπλίζετο, τότε γε μὴν τούτων ἀποκεκλεισμένος, 2
πονηροῖς καὶ γόησιν ἀνδράσιν ὥσπερ τισὶν ὀλεθρίοις ψυχῶν ὀργάνοις
διακόνοις τε ἀπωλείας χρώμενος, ἑτέραις κατεστρατήγει μεθόδοις,
πάντα πόρον ἐπινοῶν, ὡς ἂν ὑποδύντες γόητες καὶ ἀπατηλοὶ τὴν
αὐτὴν τοῦ δόγματος ἡμῖν προσηγορίαν, ὁμοῦ μὲν τῶν πιστῶν τοὺς
πρὸς αὐτῶν ἁλισκομένους εἰς βυθὸν ἀπωλείας ἄγοιεν, ὁμοῦ δὲ τοὺς
τῆς πίστεως ἀγνῶτας δι᾽ ὧν αὐτοὶ δρῶντες ἐπιχειροῖεν, ἀποτρέ-
ποιντο τῆς ἐπὶ τὸν σωτήριον λόγον παρόδου. ἀπὸ γοῦν τοῦ 3
Μενάνδρου, ὃν διάδοχον τοῦ Σίμωνος ἤδη πρότερον παραδεδώ-
καμεν, ἀμφίστομος ὥσπερ καὶ δικέφαλος ὀφιώδης τις προελθοῦσα
310 δύναμις δυεῖν αἱρέσεων διαφόρων ἀρχηγοὺς κατεστήσατο, Σατορ-
νῖνόν τε Ἀντιοχέα τὸ γένος καὶ Βασιλείδην Ἀλεξανδρέα· ὧν ὁ μὲν
κατὰ Συρίαν, ὁ δὲ κατ᾽ Αἴγυπτον συνεστήσαντο θεομισῶν αἱρέσεων
διδασκαλεῖα. τὰ μὲν οὖν πλεῖστα τὸν Σατορνῖνον τὰ αὐτὰ τῷ 4
Μενάνδρῳ ψευδολογῆσαι ὁ Εἰρηναῖος δηλοῖ, προσχήματι δὲ ἀπορρη-
τοτέρων τὸν Βασιλείδην εἰς τὸ ἄπειρον τεῖναι τὰς ἐπινοίας, δυσσε-
βοῦς αἱρέσεως ἑαυτῷ τερατώδεις ἀναπλάσαντα μυθοποιίας. πλεί- 5
στων οὖν ἐκκλησιαστικῶν ἀνδρῶν κατ᾽ ἐκεῖνο καιροῦ τῆς ἀληθείας
ὑπεραγωνιζομένων λογικώτερόν τε τῆς ἀποστολικῆς καὶ ἐκκλησι-
αστικῆς δόξης ὑπερμαχούντων, ἤδη τινὲς καὶ διὰ συγγραμμάτων τοῖς
μετέπειτα προφυλακτικὰς αὐτῶν δὴ τούτων τῶν δηλωθεισῶν αἱ-
ρέσεων παρεῖχον ἐφόδους· ὧν εἰς ἡμᾶς κατῆλθεν ἐν τοῖς τότε 6
γνωριμωτάτου συγγραφέως Ἀγρίππα Κάστορος ἱκανώτατος κατὰ
Βασιλείδου ἔλεγχος, τὴν δεινότητα τῆς τἀνδρὸς ἀποκαλύπτων γοη- 7
τείας. ἐκφαίνων δ᾽ οὖν αὐτοῦ τὰ ἀπόρρητα, φησὶν αὐτὸν εἰς μὲν
τὸ εὐαγγέλιον τέσσαρα πρὸς τοῖς εἴκοσι συντάξαι βιβλία, προφήτας

**27/28** 252, 25 ff.
**4/5** Iren. 1, 24, 1 — **5/6** Iren. 1, 24, 3

ATERBDMΣΛ

**15** *τε* BDΣΛ *ἔτ᾽* M *δὲ* ATER | **28/29** *παραδεδώκαμεν* ATER *παρεδώκαμεν* BDM *γρ* [ohne Variante] Dm

**5/6** *ἀπορρητοτέρων* ATERΣΛ *ἀπορρητοτέρω* BDM *ut altius aliquid et uerisimilius adinuenisse uideatur* Iren

310 δὲ ἑαυτῷ ὀνομάσαι Βαρκαββαν καὶ Βαρκωφ καὶ ἄλλους ἀνυπάρκτους
τινὰς ἑαυτῷ συστησάμενον, βαρβάρους τε αὐτοῖς εἰς κατάπληξιν τῶν
τὰ τοιαῦτα τεθηπότων ἐπιφημίσαι προσηγορίας, διδάσκειν τε ἀδια-
φορεῖν εἰδωλοθύτων ἀπογευομένους καὶ ἐξομνυμένους ἀπαραφυ-
λάκτως τὴν πίστιν κατὰ τοὺς τῶν διωγμῶν καιρούς, Πυθαγορικῶς
τε τοῖς προσιοῦσιν αὐτῷ πενταέτη σιωπὴν παρακελεύεσθαι· καὶ 8
ἕτερα δὲ τούτοις παραπλήσια ἀμφὶ τοῦ Βασιλείδου καταλέξας ὁ
εἰρημένος οὐκ ἀγεννῶς τῆς δηλωθείσης αἱρέσεως εἰς προῦπτον ἐφώ-
ρασε τὴν πλάνην. γράφει δὲ καὶ Εἰρηναῖος συγχρονίσαι τούτοις 9
Καρποκράτην, ἑτέρας αἱρέσεως τῆς τῶν Γνωστικῶν ἐπικληθείσης
πατέρα· οἳ καὶ τοῦ Σίμωνος οὐχ ὡς ἐκεῖνος κρύβδην, ἀλλ' ἤδη καὶ
εἰς φανερὸν τὰς μαγείας παραδιδόναι ἠξίουν, ὡς ἐπὶ μεγάλοις δή,
312 μόνον οὐχὶ καὶ σεμνυνόμενοι τοῖς κατὰ περιεργίαν πρὸς αὐτῶν ἐπι-
τελουμένοις φίλτροις ὀνειροπομποῖς τε καὶ παρέδροις τισὶ δαίμοσιν
καὶ ἄλλαις ὁμοιοτρόποις τισὶν ἀγωγαῖς· τούτοις τε ἀκολούθως πάντα
δρᾶν χρῆναι διδάσκειν τὰ αἰσχρουργότατα τοὺς μέλλοντας εἰς τὸ τέ-
λειον τῆς κατ' αὐτοὺς μυσταγωγίας ἢ καὶ μᾶλλον μυσαροποιίας
ἐλεύσεσθαι, ὡς μὴ ἂν ἄλλως ἐκφευξομένους τοὺς κοσμικούς, ὡς ἂν
ἐκεῖνοι φαῖεν, ἄρχοντας, μὴ οὐχὶ πᾶσιν τὰ δι' ἀρρητοποιίας ἀπονεί-
μαντας χρέα. τούτοις δῆτα συνέβαινεν διακόνοις χρώμενον τὸν 10
ἐπιχαιρεσίκακον δαίμονα τοὺς μὲν πρὸς αὐτῶν ἀπατωμένους οἰκτρῶς
οὕτως εἰς ἀπώλειαν ἀνδραποδίζεσθαι, τοῖς δ' ἀπίστοις ἔθνεσιν πολλὴν
παρέχειν κατὰ τοῦ θείου λόγου δυσφημίας περιουσίαν, τῆς ἐξ αὐ-
τῶν φήμης εἰς τὴν τοῦ παντὸς Χριστιανῶν ἔθνους διαβολὴν κατα-
χεομένης. ταύτῃ δ' οὖν ἐπὶ πλεῖστον συνέβαινεν τὴν περὶ ἡμῶν 11
παρὰ τοῖς τότε ἀπίστοις ὑπόνοιαν δυσσεβῆ καὶ ἀτοπωτάτην διαδί-
δοσθαι, ὡς δὴ ἀθεμίτοις πρὸς μητέρας καὶ ἀδελφὰς μίξεσιν ἀνοσίαις
τε τροφαῖς χρωμένων. οὐκ εἰς μακρόν γε μὴν αὐτῷ ταῦτα πρου- 12
χώρει, τῆς ἀληθείας αὐτῆς ἑαυτὴν συνιστώσης ἐπὶ μέγα τε φῶς
κατὰ τὸν προϊόντα χρόνον διαλαμπούσης. ἔσβεστο μὲν γὰρ αὐτίκα 13
πρὸς αὐτῆς ἐνεργείας ἀπελεγχόμενα τὰ τῶν ἐχθρῶν ἐπιτεχνήματα,
ἄλλων ἐπ' ἄλλαις αἱρέσεων καινοτομουμένων, ὑπορρεουσῶν ἀεὶ τῶν
προτέρων καὶ εἰς πολυτρόπους καὶ πολυμόρφους ἰδέας ἄλλοτε ἄλλως
φθειρομένων· προήει δ' εἰς αὔξην καὶ μέγεθος, ἀεὶ κατὰ τὰ αὐτὰ

**25**—S. 312, 8 Iren. 1, 25, 1. 6. 3. 4

ATERBDMΣΛ

**24** *εἰρηναῖοσ* D¹Σ corr. Dr

**1** *καὶ* TcTrERBDM > AT¹ | **12** *χριστιανῶν ἔθνουσ* BDM *ἔθνους χριστιανῶν* ATER | **16** *μακρόν* BDM *μακράν* ATER

312 καὶ ὡσαύτως ἔχουσα, ἡ τῆς καθόλου καὶ μόνης ἀληθοῦς ἐκκλησίας
λαμπρότης, τὸ σεμνὸν καὶ εἰλικρινὲς καὶ ἐλευθέριον τό τε σῶφρον
καὶ καθαρὸν τῆς ἐνθέου πολιτείας τε καὶ φιλοσοφίας εἰς ἅπαν γένος
Ἑλλήνων τε καὶ βαρβάρων ἀποστίλβουσα. συναπέσβη δ' οὖν ἅμα τῷ 14
χρόνῳ καὶ ἡ κατὰ παντὸς τοῦ δόγματος διαβολή, ἔμενεν δὲ ἄρα μόνη
παρὰ πᾶσι κρατοῦσα καὶ ἀνομολογουμένη τὰ μάλιστα διαπρέπειν ἐπὶ
σεμνότητι καὶ σωφροσύνῃ θείοις τε καὶ φιλοσόφοις δόγμασιν ἡ καθ'
ἡμᾶς διδασκαλία, ὡς μηδένα τῶν εἰς νῦν αἰσχρὰν ἐπιφέρειν τολμᾶν
κατὰ τῆς πίστεως ἡμῶν δυσφημίαν μηδέ τινα τοιαύτην διαβολὴν
314 οἵαις πάλαι πρότερον φίλον ἦν χρῆσθαι τοῖς καθ' ἡμῶν ἐπισυνιστα-
μένοις.

Ὅμως δ' οὖν κατὰ τοὺς δηλουμένους αὖθις παρῆγεν εἰς μέσον ἡ H 15
ἀλήθεια πλείους ἑαυτῆς ὑπερμάχους, οὐ δι' ἀγράφων αὐτὸ μόνον
ἐλέγχων, ἀλλὰ καὶ δι' ἐγγράφων ἀποδείξεων κατὰ τῶν ἀθέων αἱ-
ρέσεων στρατευομένους· ἐν τούτοις ἐγνωρίζετο Ἡγήσιππος, οὗ πλεί- 8 1
σταις ἤδη πρότερον κεχρήμεθα φωναῖς, ὡς ἂν ἐκ τῆς αὐτοῦ παρα-
δόσεως τινὰ τῶν κατὰ τοὺς ἀποστόλους παραθέμενοι. ἐν πέντε 2
δ' οὖν συγγράμμασιν οὗτος τὴν ἀπλανῆ παράδοσιν τοῦ ἀποστολικοῦ
κηρύγματος ἁπλουστάτῃ συντάξει γραφῆς ὑπομνηματισάμενος, καθ'
ὃν ἐγνωρίζετο σημαίνει χρόνον, περὶ τῶν ἀρχῆθεν ἱδρυσάντων τὰ
εἴδωλα οὕτω πως γράφων

»οἷς κενοτάφια καὶ ναοὺς ἐποίησαν ὡς μέχρι νῦν· ὧν ἐστιν καὶ
»Ἀντίνοος, δοῦλος Ἁδριανοῦ Καίσαρος, οὗ καὶ ἀγὼν ἄγεται Ἀντινό-
»ειος, ὁ ἐφ' ἡμῶν γενόμενος. καὶ γὰρ πόλιν ἔκτισεν ἐπώνυμον Ἀν-
»τινόου καὶ προφήτας«.

κατ' αὐτὸν δὲ καὶ Ἰουστῖνος, γνήσιος τῆς ἀληθοῦς φιλοσοφίας 3
ἐραστής, ἔτι τοῖς παρ' Ἕλλησιν ἀσκούμενος ἐνδιέτριβεν λόγοις· ση-

**13—16** Zahn, Forschungen 6, 247

ATERBDMΣΛ

**24** ἐλευθέριον ATER ἐλεύθερον BDM | **26** δ' οὖν BDM γ' οὖν ATER | ἅμα BDMΣ > ATER | **27/28** ἄρα μόνη παρὰ πᾶσι BDMΛ μόνη ἄρα A μόνη ἄρα πᾶσιν TER *indem sie allein siegreich war und jedermann von ihr bekannte* Σ

**1** οἵαις—φίλον ἦν > Σ | **8** παραθέμενοι $BD^rM$ παραθεμένου $D^1$ παρατιθέμενοι ATER | **9** δ' οὖν BDM δὴ οὖν ATER | **13** κενοτάφια $T^rE$ καινοτάφια $AT^1RBDM$ | **14/15** Ἀντινόειος] ἀντίνοοσ Σ | **15** ὁ MΣ ὁ καὶ BD > ATER | **16** καὶ προφήτας nicht übersetzt Σ, das Excerpt schliesst mitten im Satz | **18** ἔτι BD ἔτι τε ATERM

314 μαίνει δὲ καὶ αὐτὸς τουτονὶ τὸν χρόνον ἐν τῇ πρὸς Ἀντωνῖνον ἀπολογίᾳ ὧδε γράφων

»οὐκ ἄτοπον δὲ ἐπιμνησθῆναι ἐν τούτοις ἡγούμεθα καὶ Ἀντι»νόου τοῦ νῦν γενομένου, ὃν καὶ ἅπαντες ὡς θεὸν διὰ φόβον σέβειν »ὥρμηντο, ἐπιστάμενοι τίς τε ἦν καὶ πόθεν ὑπῆρχεν«.

316 ὁ δ' αὐτὸς καὶ τοῦ τότε κατὰ Ἰουδαίων πολέμου μνημονεύων 4
ταῦτα παρατίθεται

»καὶ γὰρ ἐν τῷ νῦν γενομένῳ Ἰουδαϊκῷ πολέμῳ Βαρχωχεβας, ὁ »τῆς Ἰουδαίων ἀποστάσεως ἀρχηγέτης, Χριστιανοὺς μόνους εἰς τι»μωρίας δεινάς, εἰ μὴ ἀρνοῖντο Ἰησοῦν τὸν Χριστὸν καὶ βλασφημοῖεν, »ἐκέλευεν ἄγεσθαι«.

ἐν ταὐτῷ δὲ καὶ τὴν ἀπὸ τῆς Ἑλληνικῆς φιλοσοφίας ἐπὶ τὴν 5
θεοσέβειαν μεταβολὴν αὐτοῦ, ὅτι μὴ ἀλόγως, μετὰ κρίσεως δὲ αὐτῷ γεγόνει, δηλῶν, ταῦτα γράφει

»καὶ γὰρ αὐτὸς ἐγώ, τοῖς Πλάτωνος χαίρων διδάγμασι, διαβαλλο»μένους ἀκούων Χριστιανούς, ὁρῶν δὲ καὶ ἀφόβους πρὸς θάνατον »καὶ πάντα τὰ νομιζόμενα φοβερά, ἐνενόουν ἀδύνατον εἶναι ἐν κακίᾳ »καὶ φιληδονίᾳ ὑπάρχειν αὐτούς· τίς γὰρ φιλήδονος ἢ ἀκρατὴς καὶ »ἀνθρωπείων σαρκῶν βορὰν ἡγούμενος ἀγαθόν, δύναιτ' ἂν θάνατον »ἀσπάζεσθαι, ὅπως τῶν ἑαυτοῦ στερηθείη ἐπιθυμιῶν, ἀλλ' οὐκ ἐκ »παντὸς ζῆν ἀεὶ τὴν ἐνθάδε βιοτὴν καὶ λανθάνειν τοὺς ἄρχοντας »ἐπειρᾶτο, οὐχ ὅτι ἑαυτὸν κατήγγελλεν φονευθησόμενον;«

Ἔτι δ' ὁ αὐτὸς ἱστορεῖ δεξάμενον τὸν Ἁδριανὸν παρὰ Σερεννίου Θ 6

**21—23** Iustin. apol. 1, 29
**3—6** Iustin. apol. 1, 31 — **10—17** Iustin. apol. 2, 12

ATERBDMΣΛ
**22** πάντεσ BD Iust
**4** μόνους nicht übersetzt Σ | **6** ἐκέλευεν A durch Rasur corr., TERM Iust ἐκέλευσεν A¹BD | **11** καὶ > ΣΛ Iust | **18** σερεννίου ATER, B corr., Eus arm chron. ol. 226 σερρενίου B¹DM σερενίου Synk 658, 16 Hieron. chron. ol. 226, 2 (*serenum* Oros. 7, 13, 2) *serennio* und *serenio* Λ HSS סארניוס Σ ἐρένιον ἐρρένιον ἐρέννιον Zonar. 3, 78, 15 HSS, der Mann hiess Q. Licinius Silvanus Granianus Quadronius Proculus, Prosop. imp. Rom. 2, 284; vgl. zu 318, 16

316 *Γρανιανοῦ, λαμπροτάτου ἡγουμένου, γράμματα ὑπὲρ Χριστιανῶν*
*περιέχοντα ὡς οὐ δίκαιον εἴη ἐπὶ μηδενὶ ἐγκλήματι βοαῖς δήμου*
*χαριζομένους ἀκρίτως κτείνειν αὐτούς, ἀντιγράψαι Μινουκίῳ*
318 *Φουνδανῷ, ἀνθυπάτῳ τῆς Ἀσίας, προστάττοντα μηδένα κρίνειν ἄνευ*
*ἐγκλήματος καὶ εὐλόγου κατηγορίας· καὶ τῆς ἐπιστολῆς δὲ ἀντί-* 7
*γραφον παρατέθειται, τὴν Ῥωμαϊκὴν φωνήν, ὡς εἶχεν, διαφυλάξας,*
*προλέγει δ' αὐτῆς ταῦτα*

›*καὶ ἐξ ἐπιστολῆς δὲ τοῦ μεγίστου καὶ ἐπιφανεστάτου Καίσαρος Ἁδριανοῦ τοῦ πατρὸς ὑμῶν ἔχοντες ἀπαιτεῖν ὑμᾶς, καθὰ ἠξιώσαμεν, κελεῦσαι τὰς κρίσεις γίνεσθαι, τοῦτο οὐχ ὡς ὑπὸ Ἁδριανοῦ κελευσθὲν μᾶλλον ἠξιώσαμεν, ἀλλ' ἐκ τοῦ ἐπίστασθαι δικαίαν ἀξιοῦν τὴν προσφώνησιν. ὑπετάξαμεν δὲ καὶ τῆς ἐπιστολῆς Ἁδριανοῦ τὸ ἀντίγραφον, ἵνα καὶ τοῦτο ἀληθεύειν ἡμᾶς γνωρίζητε, καὶ ἔστιν τόδε*‹.

*τούτοις ὁ μὲν δηλωθεὶς ἀνὴρ αὐτὴν παρατέθειται τὴν Ῥω-* 8
*μαϊκὴν ἀντιγραφήν, ἡμεῖς δ' ἐπὶ τὸ Ἑλληνικὸν κατὰ δύναμιν αὐτὴν μετειλήφαμεν, ἔχουσαν ὧδε·*

›*Μινουκίῳ Φουνδανῷ. ἐπιστολὴν ἐδεξάμην γραφεῖσάν μοι ἀπὸ* 9 1
*Σερεννίου Γρανιανοῦ, λαμπροτάτου ἀνδρός, ὅντινα σὺ διεδέξω. οὐ δοκεῖ μοι οὖν τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας*
*παρασχεθῇ. εἰ οὖν σαφῶς εἰς ταύτην τὴν ἀξίωσιν οἱ ἐπαρχιῶται* 2
*δύνανται διισχυρίζεσθαι κατὰ τῶν Χριστιανῶν, ὡς καὶ πρὸ βήματος*

**5—11. 15**—S. 320, 7 Iustin. apol. 1, 68

ATERBDMΣΛ

**1** *φουδάννῳ* M, der Mann hiess C. Minicius Fundanus, Prosop. imp. Rom. 2, 377 | *κρίνειν* BDMΛ *κτείνειν* ATERΣ | **7/8** *τοῦτο—κελευσθὲν* ΠΣ *οὐκ ἐκ τοῦ κεκρίσθαι τοῦτο ὑπὸ Ἁδριανοῦ* Iust | **8** *δίκαια* Tr Iust, vgl. zu 9 | **9** nach *προσφώνησιν* sind durch alten Fehler weggelassen *καὶ ἐξήγησιν πεποιήμεθα* | **10** *καὶ τοῦτο* T¹BDM *καὶ τούτο* R¹ *καὶ τούτω* ARcΣ *κἂν τούτω* TcTrE *καὶ κατὰ τοῦτο* Iust | **10/11** *καὶ ἔστιν τόδε* > Σ | **16** *σερεννίου* TcERBDM *σεριννίου* AT¹ *σερηνίου* Iust HS *serennio* und *serenio* Λ HSS סארניוס Σ vgl. zu 316, 18 | **17** *μοι οὖν* ATERBcDM *οὖν* B¹ *οὖν μοι* Iust | **17/18** *μήτε οἱ ἄνθρωποι* ΠΣ Iust *ne et innoxii* Λ nach Conjectur

320 »ἀποκρίνασθαι, ἐπὶ τοῦτο μόνον τραπῶσιν, ἀλλ᾽ οὐκ ἀξιώσεσιν οὐδὲ
»μόναις βοαῖς. πολλῷ γὰρ μᾶλλον προσῆκεν, εἴ τις κατηγορεῖν βού-
»λοιτο, τοῦτό σε διαγινώσκειν. εἴ τις οὖν κατηγορεῖ καὶ δείκνυσίν 3
»τι παρὰ τοὺς νόμους πράττοντας, οὕτως ὅριζε κατὰ τὴν δύναμιν
»τοῦ ἁμαρτήματος· ὡς μὰ τὸν Ἡρακλέα εἴ τις συκοφαντίας χάριν
»τοῦτο προτείνοι, διαλάμβανε ὑπὲρ τῆς δεινότητος καὶ φρόντιζε
»ὅπως ἂν ἐκδικήσειας«.

καὶ τὰ μὲν τῆς Ἀδριανοῦ ἀντιγραφῆς τοιαῦτα·

τούτου δὲ τὸ χρεὼν μετὰ πρῶτον καὶ εἰκοστὸν ἔτος ἐκτίσαν- I 10
τος, Ἀντωνῖνος ὁ κληθεὶς Εὐσεβὴς τὴν Ῥωμαίων ἀρχὴν διαδέχε-
ται. τούτου δὲ ἐν ἔτει πρώτῳ Τελεσφόρου τὸν βίον ἐνδεκάτῳ τῆς
λειτουργίας ἐνιαυτῷ μεταλλάξαντος, Ὑγῖνος τὸν κλῆρον τῆς Ῥω-
μαίων ἐπισκοπῆς παραλαμβάνει. ἱστορεῖ γε μὴν ὁ Εἰρηναῖος τὸν IA
Τελεσφόρου μαρτυρίῳ τὴν τελευτὴν διαπρέψαι, δηλῶν ἐν ταὐτῷ
κατὰ τὸν δηλούμενον Ῥωμαίων ἐπίσκοπον Ὑγῖνον Οὐαλεντῖνον ἰδίας
αἱρέσεως εἰσηγητὴν καὶ Κέρδωνα τῆς κατὰ Μαρκίωνα πλάνης ἀρ-
χηγὸν ἐπὶ τῆς Ῥώμης ἄμφω γνωρίζεσθαι, γράφει δὲ οὕτως

»Οὐαλεντῖνος μὲν γὰρ ἦλθεν εἰς Ῥώμην ἐπὶ Ὑγίνου, ἤκμασεν δὲ 11 1
»ἐπὶ Πίου, καὶ παρέμεινεν ἕως Ἀνικήτου· Κέρδων δ᾽ ὁ πρὸ Μαρκί-
»ωνος καὶ αὐτὸς ἐπὶ Ὑγίνου, ὃς ἦν ἔνατος ἐπίσκοπος, εἰς τὴν ἐκ-
»κλησίαν ἐλθὼν καὶ ἐξομολογούμενος, οὕτως διετέλεσεν, ποτὲ μὲν
»λαθροδιδασκαλῶν, ποτὲ δὲ πάλιν ἐξομολογούμενος, ποτὲ δὲ ἐλεγχό-
»μενος ἐφ᾽ οἷς ἐδίδασκεν κακῶς, καὶ ἀφιστάμενος τῆς τῶν ἀδελφῶν
»συνοδίας«.

322 ταῦτα δέ φησιν ἐν τρίτῳ τῶν πρὸς τὰς αἱρέσεις· ἐν γε μὴν τῷ 2
πρώτῳ αὖθις περὶ τοῦ Κέρδωνος ταῦτα διέξεισιν

»Κέρδων δέ τις ἀπὸ τῶν περὶ τὸν Σίμωνα τὰς ἀφορμὰς λαβὼν

**13/14** Iren. 3, 3, 3 [= Eus. 5, 6, 4] — **18—24** Iren. 3, 4, 3
**3—10** Iren. 1, 27, 1. 2

ATERBDMΣΛ

**1** *ἀποκρίνασθαι* ATERDM *ἀποκρίνεσθαι* B Iust | **8** *καὶ — τοιαῦτα* nicht übersetzt Σ | **20** *ἔνατοσ* ΠΣΛ [= Epiphan. 41, 1 p. 300$^{a}$. 42, 1 p. 302$^{d}$. Cyprian. ep. 74, 2] gegen die Zählung sowohl Eusebs wie des Irenaeus [vgl. unten 5, 6, 4], *octauus* Iren vgl. 322, 4 | **22** *λαθροδιδασκαλῶν* BDM *λαθροδιδάσκων* ATER | *πάλιν* ATERB$^{cm}$DMΣ > B$^{1}$ Iren$^{lat}$

322 »καὶ ἐπιδημήσας ἐν τῇ Ῥώμῃ ἐπὶ Ὑγίνου ἔνατον κλῆρον τῆς ἐπισκο-
»πικῆς διαδοχῆς ἀπὸ τῶν ἀποστόλων ἔχοντος, ἐδίδαξεν τὸν ὑπὸ
»τοῦ νόμου καὶ προφητῶν κεκηρυγμένον θεὸν μὴ εἶναι πατέρα τοῦ
»κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τὸν μὲν γὰρ γνωρίζεσθαι, τὸν δὲ
»ἀγνῶτα εἶναι, καὶ τὸν μὲν δίκαιον, τὸν δὲ ἀγαθὸν ὑπάρχειν. δια-
»δεξάμενος δὲ αὐτὸν Μαρκίων ὁ Ποντικὸς ηὔξησεν τὸ διδασκαλεῖον,
»ἀπηρυθριασμένως βλασφημῶν«.

ὁ δ' αὐτὸς Εἰρηναῖος τὸν ἄπειρον βυθὸν τῆς Οὐαλεντίνου πολυ- 3
πλανοῦς ὕλης εὐτονώτατα διαπλώσας, ἑρπετοῦ δίκην φωλεύοντος
ἀπόκρυφον οὖσαν αὐτοῦ καὶ λεληθυῖαν ἀπογυμνοῖ τὴν κακίαν· πρὸς 4
τούτοις καὶ ἄλλον τινά, Μάρκος αὐτῷ ὄνομα, κατ' αὐτοὺς γενέσθαι
λέγει, μαγικῆς κυβείας ἐμπειρότατον, γράφει δὲ καὶ τὰς ἀτελέστους
αὐτῶν τελετὰς μυσεράς τε μυσταγωγίας ἐκφαίνων αὐτοῖς δὴ τούτοις
τοῖς γράμμασιν

»οἳ μὲν γὰρ αὐτῶν νυμφῶνα κατασκευάζουσιν καὶ μυσταγω- 5
»γίαν ἐπιτελοῦσιν μετ' ἐπιρρήσεών τινων τοῖς τελουμένοις καὶ
»πνευματικὸν γάμον φάσκουσιν εἶναι τὸ ὑπ' αὐτῶν γινόμενον
»κατὰ τὴν ὁμοιότητα τῶν ἄνω συζυγιῶν, οἳ δὲ ἄγουσιν ἐφ' ὕδωρ
»καὶ βαπτίζοντες οὕτως ἐπιλέγουσιν »εἰς ὄνομα ἀγνώστου πατρὸς
»τῶν ὅλων, εἰς ἀλήθειαν μητέρα τῶν πάντων, εἰς τὸν κατελθόντα
»εἰς τὸν Ἰησοῦν«· ἄλλοι δὲ Ἑβραϊκὰ ὀνόματα ἐπιλέγουσιν πρὸς τὸ
»μᾶλλον καταπλήξασθαι τοὺς τελουμένους«.

324 ἀλλὰ γὰρ μετὰ τέταρτον τῆς ἐπισκοπῆς ἔτος Ὑγίνου τελευτή- 6
σαντος, Πίος ἐπὶ Ῥώμης ἐγχειρίζεται τὴν λειτουργίαν· κατά γε μὴν
τὴν Ἀλεξάνδρειαν Μάρκος ἀναδείκνυται ποιμὴν Εὐμένους ἔτη τὰ
πάντα δέκα πρὸς τρισὶν ἐκπλήσαντος, τοῦ τε Μάρκου ἐπὶ δέκα ἔτη
τῆς λειτουργίας ἀναπαυσαμένου, Κελαδίων τῆς Ἀλεξανδρέων ἐκκλη-
σίας τὴν λειτουργίαν παραλαμβάνει. καὶ κατὰ τὴν Ῥωμαίων δὲ 7
πόλιν πεντεκαιδεκάτῳ τῆς ἐπισκοπῆς ἐνιαυτῷ Πίου μεταλλάξαντος,

**11—13** Iren. 1, 1—9 — **13—15** Iren. 1, 13, 1 — **18—25** Iren. 1, 21, 3 = Epiphan. 34, 20

ATERBDMΣΔ

**4** *ἐν τῇ ῥώμῃ* BDM *εἰς τὴν ῥώμην* ATER | **4/5** *ἔνατον—ἔχοντος* > Δ | **4** *octauum* Iren vgl. zu 320, 20 | **23** *ἀληθῆ* Σ | *τῶν πάντων* ATEBM *πάντων* RD Epiph Theodor. 1, 9 | **25** *καταπλήξασθαι* BDM Epiph *καταπλῆξαι* ATER

324 Ἀνίκητος τῶν ἐκεῖσε προΐσταται· καθ' ὃν Ἡγήσιππος ἱστορεῖ ἑαυτὸν ἐπιδημῆσαι τῇ Ῥώμῃ παραμεῖναί τε αὐτόθι μέχρι τῆς ἐπισκοπῆς Ἐλευθέρου. μάλιστα δ' ἤκμαζεν ἐπὶ τῶνδε Ἰουστῖνος, ἐν φιλο- 8 σόφου σχήματι πρεσβεύων τὸν θεῖον λόγον καὶ τοῖς ὑπὲρ τῆς πίστεως ἐναγωνιζόμενος συγγράμμασιν· ὃς δὴ καὶ γράψας κατὰ Μαρκίωνος σύγγραμμα, μνημονεύει ὡς καθ' ὃν συνέταττε καιρὸν γνωριζομένου τῷ βίῳ τἀνδρός, φησὶν δὲ οὕτως

»Μαρκίωνα δέ τινα Ποντικόν, ὃς καὶ νῦν ἔτι ἐστὶν διδάσκων 9 »τοὺς πειθομένους ἄλλον τινὰ νομίζειν μείζονα τοῦ δημιουργοῦ »θεόν· ὃς καὶ κατὰ πᾶν γένος ἀνθρώπων διὰ τῆς τῶν δαιμόνων »συλλήψεως πολλοὺς πέπεικε βλάσφημα λέγειν καὶ ἀρνεῖσθαι τὸν »ποιητὴν τοῦδε τοῦ παντὸς πατέρα εἶναι τοῦ Χριστοῦ, ἄλλον δέ »τινα ὡς ὄντα μείζονα παρὰ τοῦτον ὁμολογεῖν πεποιηκέναι. καὶ »πάντες οἱ ἀπὸ τούτων ὡρμημένοι, ὡς ἔφαμεν, Χριστιανοὶ καλοῦν- »ται, ὃν τρόπον καὶ οὐ κοινῶν ὄντων δογμάτων τοῖς φιλοσόφοις »τὸ ἐπικαλούμενον ὄνομα τῆς φιλοσοφίας κοινόν ἐστιν«.

τούτοις ἐπιφέρει λέγων

»ἔστιν δὲ ἡμῖν καὶ σύνταγμα κατὰ πασῶν τῶν γεγενημένων αἱ- 10 »ρέσεων, ᾧ εἰ βούλεσθε ἐντυχεῖν, δώσομεν«.

326 Ὁ δ' αὐτὸς οὗτος Ἰουστῖνος καὶ πρὸς Ἕλληνας ἱκανώτατα πο- IB 11 νήσας, καὶ ἑτέρους λόγους ὑπὲρ τῆς ἡμετέρας πίστεως ἀπολογίαν ἔχοντας βασιλεῖ Ἀντωνίνῳ τῷ δὴ ἐπικληθέντι Εὐσεβεῖ καὶ τῇ Ῥωμαίων συγκλήτῳ βουλῇ προσφωνεῖ· καὶ γὰρ ἐπὶ τῆς Ῥώμης τὰς διατριβὰς ἐποιεῖτο. ἐμφαίνει δ' ἑαυτὸν ὅστις καὶ πόθεν ἦν, διὰ τῆς ἀπολογίας ἐν τούτοις

**8—10** unten 4, 22, 3 — **15—23. 25/26** Iustin. apol. 1, 26

ATERBDMΣΛ

**14** *γνωριζομένου* ATER *γνωριζομένῳ* BDM | **16** *νομίζειν* T$^1$M Iust *εἶναι νομίζειν* AERΛ *νομίζειν εἶναι* T$^r$ *νομίζειν* bezeugt Σ *ὀνομάζειν* BD | **18** *πέπεικε ΠΣΛ*, alter Fehler für *πεποίηκε* Iust | **19** *πατέρα — Χριστοῦ ΠΣΛ θεόν* Iust HS, beides sind Glosseme | **20** *πεποιηκέναι Π* Iust HS > *ΣΛ* mit für Iustin richtiger Conjectur | **22** *οὐ κοινῶν ὄντων* AT$^c$ERBD$^r$M$^c$*ΣΛ* *οὐ* [*οὗ* T$^1$] *κοινωνὸν τῶν* T$^1$D$^1$M$^1$ *οὐ κοινῶν ὄντων* ⟨*τῶν*⟩ schrieb Iust (Wendland), *οἱ οὐ κοινωνοῦντες τῶν αὐτῶν* und nachher statt *ἔστιν ἔχουσιν* Iust HS

**1** *ὁ* ABDMΣΛ *τὸ τηνικαῦτα* TER | **2** *ἑτέρουσ* T$^c$ERBDMΣΛ > AT$^1$

326 ›Αὐτοκράτορι Τίτῳ Αἰλίῳ Ἁδριανῷ Ἀντωνίνῳ Εὐσεβεῖ Καίσαρι 12
›Σεβαστῷ καὶ Οὐηρισσίμῳ υἱῷ φιλοσόφῳ καὶ Λουκίῳ φιλοσόφου
›Καίσαρος φύσει υἱῷ καὶ Εὐσεβοῦς εἰσποιητῷ, ἐραστῇ παιδείας, ἱερᾷ
›τε συγκλήτῳ καὶ παντὶ δήμῳ Ῥωμαίων ὑπὲρ τῶν ἐκ παντὸς γένους
›ἀνθρώπων ἀδίκως μισουμένων καὶ ἐπηρεαζομένων Ἰουστῖνος Πρί-
›σκου τοῦ Βακχείου τῶν ἀπὸ Φλαυίας Νέας πόλεως τῆς Συρίας
›Παλαιστίνης, εἷς αὐτῶν, τὴν προσφώνησιν καὶ ἔντευξιν πεποίημαι‹.

Ἐντευχθεὶς δὲ καὶ ὑφ᾽ ἑτέρων ὁ αὐτὸς βασιλεὺς ἐπὶ τῆς Ἀσίας ΙΓ ἀδελφῶν παντοίαις ὕβρεσιν πρὸς τῶν ἐπιχωρίων δήμων καταπονουμένων, τοιαύτης ἠξίωσεν τὸ κοινὸν τῆς Ἀσίας διατάξεως

›Αὐτοκράτωρ Καῖσαρ Μάρκος Αὐρήλιος Ἀντωνῖνος Σεβαστός, 13 1
328 ›Ἀρμένιος, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ πέμπτον 7. März —
›καὶ τὸ δέκατον, ὕπατος τὸ τρίτον, τῷ κοινῷ τῆς Ἀσίας χαίρειν. 9. Dec. 161
›ἐγὼ μὲν οἶδ᾽ ὅτι καὶ τοῖς θεοῖς ἐπιμελές ἐστι μὴ λανθάνειν τοὺς 2
›τοιούτους· πολὺ γὰρ μᾶλλον ἐκεῖνοι κολάσαιεν ἂν τοὺς μὴ βουλο-
›μένους αὐτοῖς προσκυνεῖν ἢ ὑμεῖς. οὓς εἰς ταραχὴν ἐμβάλλετε, βε- 3
›βαιοῦντες τὴν γνώμην αὐτῶν ἥνπερ ἔχουσιν, ὡς ἀθέων κατηγο-

**7—13** Iustin. apol. 1, 1 — **14**—S. 330, 19 Chron. pasch. 484, 10—485, 18

ATERBDMΣΛ

**7/8** *καίσαρι σεβαστῶ ΠΣΛ σεβαστῶ καίσαρι* Iust HS, *Εὐσεβεῖ καὶ Καίσαρι Οὐηρισσίμωι Σεβαστοῦ υἱῶι* vermuthet für Iustin Hort journ. of phil. 1856, 155; *Σεβαστῶι Εὐσεβεῖ καὶ Οὐηρισσίμωι Καίσαρι Σεβαστοῦ υἱῶι* Schw | **8** *φιλοσόφου* TERBDMΛ *φιλοσόφω* A Iust HS > Σ | **9** *φύσει* und *Εὐσεβοῦς—παιδείας* > Σ | *ἱερᾶ ΠΛ dem ganzen Σ* | **12** *Φλαυίας* > ΣΛ | *τῆς Συρίας*] *συρίασ τῆσ* B > ΣΛ | **13** *εἰσ αὐτῶν* BD$^r$ Iust *εἰσ αὐτων* T$^1$D$^1$ *εἰσ αὐτὸν* ERM *εἶσ αὐτῶν ὧν* AT$^r$ [T$^c$ unleserlich] > Σ | *πεποίημαι* TERDM Iust *ποιήσομαι* A *ποιοῦμαι* B *ποιοῦμαι* oder *ποιήσομαι* Σ *defero Λ* | **17**—S. 330, 19 Harnack [TU 13 Heft 4] versucht die christlichen Interpolationen von dem echten Bestand zu sondern, ich halte dies ganze Edict für die Übersetzung einer lateinischen Fälschung

**1/2** *Ἀρμένιος—τρίτον* > Σ | **1** *Ἀρμένιος—μέγιστος* > Chron pasch | *Ἀρμένιος* sprachlich und sachlich falsch | **5/6** *ἐμβάλλετε βεβαιοῦντεσ Π ἐμβάλλοντεσ βεβαιοῦτε* Chron pasch *denn damit dass ihr wider sie Unruhe erregt, macht ihr fest ihren Gedanken Σ uos confirmatis eorum quos persequimini, sententiam Λ* in der Stelle steckt ein voreusebianischer Fehler; *οὓς ⟨εἰ⟩ .. ἐμβάλλετε, βεβαιοῦτε*?

330 »ροῦντες· εἴη δ' ἂν κἀκείνοις αἱρετὸν τῷ δοκεῖν κατηγορουμένοις
»τεθνάναι μᾶλλον ἢ ζῆν ὑπὲρ τοῦ οἰκείου θεοῦ· ὅθεν καὶ νικῶσι,
»προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς ἤπερ πειθόμενοι οἷς ἀξιοῦτε πράττειν
»αὐτούς. περὶ δὲ τῶν σεισμῶν τῶν γεγονότων καὶ γινομένων, οὐκ 4
»ἄτοπον ὑμᾶς ὑπομνῆσαι ἀθυμοῦντας μὲν ὅταν περ ὦσιν, παρα-
»βάλλοντας δὲ τὰ ἡμέτερα πρὸς τὰ ἐκείνων. οἳ μὲν οὖν εὐπαρρησι- 5
»αστότεροι γίνονται πρὸς τὸν θεόν, ὑμεῖς δὲ παρὰ πάντα τὸν χρόνον
»καθ' ὃν ἀγνοεῖν δοκεῖτε, τῶν τε θεῶν τῶν ἄλλων ἀμελεῖτε καὶ
»τῆς θρησκείας τῆς περὶ τὸν ἀθάνατον· ὃν δὴ τοὺς Χριστιανοὺς
»θρησκεύοντας ἐλαύνετε καὶ διώκετε ἕως θανάτου. ὑπὲρ δὲ τῶν 6

ATERBDMΣΛ

**1** κακείνοισ T^c EBDM Chron pasch ἐκείνοισ AT¹R | τῷ ATEBDM τὸ R [ex sil] ΣΛ Chron pasch | **5/6** παραβάλλοντας falsch | **6** ἡμέτερα ATEB DMΣ Chron pasch ὑμέτερα R [ex sil] | **8** καθ' ὃν — δοκεῖτε unverständlich, der Fehler steckt in καθ' ὃν | τῶν² TED¹MΣΛ καὶ τῶν ARBDr Chron pasch

**326, 17—330, 18** Cod. Par. 450, nach den Apologien Iustins, unter der Überschrift *Ἀντωνίνου ἐπιστολὴ πρὸς τὸ κοινὸν τῆς Ἀσίας: Αὐτοκράτωρ Καῖσαρ Τίτος Αἴλιος Ἁδριανὸς Ἀντωνῖνος Σεβαστὸς Εὐσεβής, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ κδ, ὕπατος τὸ δ, πατὴρ πατρίδος* [ἐξουσιασ ὕπατοσ πδ πρ πριδοσ τὸ κα HS, verbessert von Schw] *τῶι κοινῶι τῆς Ἀσίας χαίρειν. ἐγὼ ᾤμην ὅτι καὶ τοῖς θεοῖς ἐπιμελὲς* [τοὺσ θεοὺσ ἐπιμελεῖσ HS] *ἔσεσθαι μὴ λανθάνειν τοὺς τοιούτους· πολὺ γὰρ μᾶλλον ἐκείνους κολάσοιεν, εἴπερ δύναιντο, τοὺς μὴ βουλομένους αὐτοῖς προσκυνεῖν· οἷς ταραχὴν ὑμεῖς ἐμβάλλετε, καὶ τὴν γνώμην αὐτῶν ἥνπερ ἔχουσιν, ὡς ἀθέων κατηγορεῖτε καὶ ἕτερά τινα* [ἐμβάλλετε] *ἅτινα οὐ δυνάμεθα ἀποδεῖξαι. εἴη δ' ἂν ἐκείνοις χρήσιμον τὸ δοκεῖν ἐπὶ τῶι κατηγορουμένωι τεθνάναι, καὶ νικῶσιν ὑμᾶς, προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς ἤπερ* [εἴπερ HS] *πειθόμενοι οἷς ἀξιοῦτε πράσσειν αὐτούς. περὶ δὲ τῶν σεισμῶν τῶν γεγονότων καὶ τῶν γινομένων, οὐκ ἀπεικὸς* [εἰκὸσ HS] *ὑπομνῆσαι ὑμᾶς ἀθυμοῦντας ὅτανπερ ὦσι, παραβάλλοντας* [-εσ HS] *τὰ ὑμέτερα πρὸς τὰ ἐκείνων, ὅτι εὐπαρρησιαστότεροι ὑμῶν γίνονται πρὸς τὸν θεόν, καὶ ὑμεῖς μὲν ἀγνοεῖν δοκεῖτε παρ' ἐκεῖνον τὸν χρόνον τοὺς θεοὺς καὶ τῶν ἱερῶν ἀμελεῖτε, θρησκείαν δὲ τὴν περὶ τὸν θεὸν οὐκ ἐπίστασθε· ὅθεν καὶ τοὺς θρησκεύοντας ἐξηλάκατε* [ἐξηλώκατε HS] *καὶ διώκετε ἕως θανάτου. ὑπὲρ τῶν τοιούτων καὶ ἄλλοι τινὲς τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων τῶι θειοτάτωι μου πατρὶ ἔγραψαν· οἷς καὶ ἀντέγραψε μηδὲν ἐνοχλεῖν* [ὀχλεῖν HS] *τοῖς τοιούτοις, εἰ μὴ φαίνοιντό τι ἐπὶ τὴν ἡγεμονίαν Ῥωμαίων ἐγχειροῦντες. καὶ ἐμοὶ δὲ περὶ τῶν τοιούτων πολλοὶ ἐσήμαναν· οἷς δὴ* [καὶ *ἀντέγραψα τῆι τοῦ πατρός μου κατακολουθῶν γνώμηι. εἰ δέ τις ἔχοι πρός τινα τῶν τοιούτων πρᾶγμα καταφέρειν ὡς τοιοῦτον, ἐκεῖνος ὁ καταφερόμενος ἀπολελύσθω τοῦ ἐγκλήματος κἂν φαίνηται τοιοῦτος ὤν, ἐκεῖνος δὲ ὁ καταφέρων ἔνοχος ἔσται τῆι δίκηι.*

10. Dec. 160— 7. März 161

330 ›τοιούτων ἤδη καὶ πολλοὶ τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων καὶ τῷ
›θειοτάτῳ ἡμῶν ἔγραψαν πατρί, οἷς καὶ ἀντέγραψεν μηδὲν ἐνοχλεῖν
›τοῖς τοιούτοις, εἰ μὴ ἐμφαίνοιντό τι περὶ τὴν Ῥωμαίων ἡγεμονίαν
›ἐγχειροῦντες. καὶ ἐμοὶ δὲ περὶ τῶν τοιούτων πολλοὶ ἐσήμαναν·
›οἷς δὴ καὶ ἀντέγραψα κατακολουθῶν τῇ τοῦ πατρὸς γνώμῃ. εἰ δέ 7
›τις ἐπιμένοι τινὰ τῶν τοιούτων εἰς πράγματα φέρων ὡς δὴ τοιοῦ-
›τον, ἐκεῖνος ὁ καταφερόμενος ἀπολελύσθω τοῦ ἐγκλήματος καὶ ἐὰν
›φαίνηται τοιοῦτος ὤν, ὁ δὲ καταφέρων ἔνοχος ἔσται δίκης. προε-
›τέθη ἐν Ἐφέσῳ ἐν τῷ κοινῷ τῆς Ἀσίας‹.

τούτοις οὕτω χωρήσασιν ἐπιμαρτυρῶν Μελίτων, τῆς ἐν Σάρδεσιν 8
ἐκκλησίας ἐπίσκοπος κατ' αὐτὸ γνωριζόμενος τοῦ χρόνου, δῆλός ἐστιν
332 ἐκ τῶν εἰρημένων αὐτῷ ἐν ᾗ πεποίηται πρὸς αὐτοκράτορα Οὐῆρον
ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος ἀπολογίᾳ.

Ἐπὶ δὲ τῶν δηλουμένων, Ἀνικήτου τῆς Ῥωμαίων ἐκκλησίας ΙΔ 14 1
ἡγουμένου, Πολύκαρπον ἔτι περιόντα τῷ βίῳ γενέσθαι τε ἐπὶ Ῥώμης
καὶ εἰς ὁμιλίαν τῷ Ἀνικήτῳ ἐλθεῖν διά τι ζήτημα περὶ τῆς κατὰ
τὸ πάσχα ἡμέρας Εἰρηναῖος ἱστορεῖ. καὶ ἄλλην δὲ ὁ αὐτὸς περὶ 2
τοῦ Πολυκάρπου παραδίδωσιν διήγησιν, ἣν ἀναγκαῖον τοῖς περὶ αὐτοῦ
δηλουμένοις ἐπισυνάψαι, οὕτως ἔχουσαν

## *ΑΠΟ ΤΟΥ ΤΡΙΤΟΥ ΤΩΝ ΠΡΟΣ ΤΑΣ ΑΙΡΕΣΕΙΣ ΕΙΡΗΝΑΙΟΥ*

›Καὶ Πολύκαρπος δὲ οὐ μόνον ὑπὸ ἀποστόλων μαθητευθεὶς καὶ 3
›συναναστραφεὶς πολλοῖς τοῖς τὸν κύριον ἑορακόσιν, ἀλλὰ καὶ ὑπὸ
›ἀποστόλων κατασταθεὶς εἰς τὴν Ἀσίαν ἐν τῇ ἐν Σμύρνῃ ἐκκλησίᾳ
›ἐπίσκοπος, ὃν καὶ ἡμεῖς ἑοράκαμεν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ (ἐπὶ 4
›πολὺ γὰρ παρέμεινεν καὶ πάνυ γηραλέος ἐνδόξως καὶ ἐπιφανέστατα
›μαρτυρήσας, ἐξῆλθεν τοῦ βίου), ταῦτα διδάξας ἀεὶ ἃ καὶ παρὰ τῶν

**20**—S. 332, 2 vgl. unten 4, 25, 10
**3—6** vgl. unten 5, 24, 16 — **10**—S. 334, 15 Iren. 3, 3, 4

ATERBDMΣΛ

**13** *μὴ ἐμφαίνοιντό τι* BDΣΛ *μὴ ἂν φαίνοιντό τι* Chron pasch *μὴ φαίνοιντό τι* M *μηδὲν φαίνοιντο* A *μὴ φαίνοιντο* TER | *ῥωμαίων* BDM Chron pasch *τῶν ῥωμαίων* ATER | **16/17** *τοιοῦτον* ATrΣ *τοιούτων* T¹ERBDM *τοιοῦτον ὄντα* Chron pasch

**3** *τοῦ δηλουμένου* Σ | **11** *τοῖσ* Tcm [getilgt], ERBDM Iren [*multis eis*] > AT¹ | *κ̅ν̅* BDMΛΣ Iren *χ̅ν̅* ATER | **14** *ἐνδόξωσ* AT¹RM Iren *ἦν ἐνδόξωσ* TcmEBD | **15** *διδάξασ* alter Fehler für *ἐδίδαξεν* Iren | **15/16** *ἃ καὶ παρὰ*—*παραδίδωσιν* > Σ | **15** *καὶ* > Λ Iren

332 ›ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ ἐκκλησία παραδίδωσιν, ἃ καὶ μόνα ἐστὶν
›ἀληθῆ. μαρτυροῦσι τούτοις αἱ κατὰ τὴν Ἀσίαν ἐκκλησίαι πᾶσαι 5
›καὶ οἱ μέχρι νῦν διαδεδεγμένοι τὸν Πολύκαρπον, πολλῷ ἀξιοπιστό-
›τερον καὶ βεβαιότερον ἀληθείας μάρτυρα ὄντα Οὐαλεντίνου καὶ
›Μαρκίωνος καὶ τῶν λοιπῶν κακογνωμόνων· ὃς καὶ ἐπὶ Ἀνικήτου
›ἐπιδημήσας τῇ Ῥώμῃ, πολλοὺς ἀπὸ τῶν προειρημένων αἱρετικῶν
›ἐπέστρεψεν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ, μίαν καὶ μόνην ταύτην
›ἀλήθειαν κηρύξας ὑπὸ τῶν ἀποστόλων παρειληφέναι τὴν ὑπὸ τῆς
›ἐκκλησίας παραδεδομένην. καὶ εἰσὶν οἱ ἀκηκοότες αὐτοῦ ὅτι Ἰω- 6
334 άννης ὁ τοῦ κυρίου μαθητὴς ἐν τῇ Ἐφέσῳ πορευθεὶς λούσασθαι
›καὶ ἰδὼν ἔσω Κήρινθον ἐξήλατο τοῦ βαλανείου μὴ λουσάμενος, ἀλλ᾽
›ἐπειπών »φύγωμεν, μὴ καὶ τὸ βαλανεῖον συμπέσῃ, ἔνδον ὄντος Κη-
›ρίνθου τοῦ τῆς ἀληθείας ἐχθροῦ«. καὶ αὐτὸς δὲ ὁ Πολύκαρπος 7
›Μαρκίωνί ποτε εἰς ὄψιν αὐτῷ ἐλθόντι καὶ φήσαντι »ἐπιγίνωσκε
›ἡμᾶς« ἀπεκρίθη »ἐπιγινώσκω ἐπιγινώσκω τὸν πρωτότοκον τοῦ σα-
›τανᾶ«. τοσαύτην οἱ ἀπόστολοι καὶ οἱ μαθηταὶ αὐτῶν ἔσχον εὐλά-
›βειαν πρὸς τὸ μηδὲ μέχρι λόγου κοινωνεῖν τινὶ τῶν παραχαρασσόν-
›των τὴν ἀλήθειαν, ὡς καὶ Παῦλος ἔφησεν »αἱρετικὸν ἄνθρωπον
›μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι
›ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκρι-
›τος«. ἔστιν δὲ καὶ ἐπιστολὴ Πολυκάρπου πρὸς Φιλιππησίους γε- 8
›γραμμένη ἱκανωτάτη, ἐξ ἧς καὶ τὸν χαρακτῆρα τῆς πίστεως αὐτοῦ
›καὶ τὸ κήρυγμα τῆς ἀληθείας οἱ βουλόμενοι καὶ φροντίζοντες τῆς
›ἑαυτῶν σωτηρίας δύνανται μαθεῖν‹.

ταῦτα ὁ Εἰρηναῖος· ὅ γέ τοι Πολύκαρπος ἐν τῇ δηλωθείσῃ 9

**9—12** Tit. 3, 10. 11 — **16—18** Polyc. Phil. 1, 3 [= I Petr. 1, 8]. 2, 1 [= I Petr. 1, 13. 21]. 2, 2 [= I Petr. 3, 9]. 5, 3 [= I Petr. 2, 11]. 7, 2 [= I Petr. 4, 7]. 8, 1 [= I Petr. 2, 24. 22]. 10, 2 [= I Petr. 2, 12]

ATERBDMΣΔ

**16** *ἡ ἐκκλησία Π τῆι ἐκκλησίαι Δ* Iren$^{lat}$ | *ἃ*$^{2}$ *ΠΔ* > Iren | **18** *τὸν πολύκαρπον* AT$^{1}$MΔ Iren (*inne haben*) *die Überlieferung des Polykarpos* Σ *τὸν πολυκάρπου θρόνον* T$^{c}$ERD *τὸν τοῦ πολυκάρπου θρόνον* B | **23/24** *ὑπὸ τῆς ἐκκλησίασ ΠΣ καὶ τῆι ἐκκλησίαι Δ* Iren$^{lat}$

**3** *φύγωμεν* > Iren [*quod timeat ne = μὴ*] | **5** *ἐπιγίνωσκε* BDMΣΔ mart. Polyc. Mosq. 22, 2 Hieron. de uir. ill. 17 *ἐπιγινώσκεισ* ATER Iren Chron pasch 480, 3 | **6** *ἐπιγινώσκω ἐπιγινώσκω* T$^{c}$ [getilgt], ERBDMΔ mart. Polyc. Mosq. 22, 2 *ἐπιγινώσκω* AT$^{1}$ Hieron *ich erkenne dich* Σ *cognosco te* Iren *ἐπιγινώσκω σε* Chron pasch 480, 4

334 πρὸς Φιλιππησίους αὐτοῦ γραφῇ, φερομένῃ εἰς δεῦρο, κέχρηταί τισιν
μαρτυρίαις ἀπὸ τῆς Πέτρου προτέρας ἐπιστολῆς.
Ἀντωνῖνον μὲν δὴ τὸν Εὐσεβῆ κληθέντα, εἰκοστὸν καὶ δεύτερον ΙΕ 10
ἔτος τῆς ἀρχῆς διανύσαντα, Μάρκος Αὐρήλιος Οὐῆρος, ὁ καὶ Ἀν-
τωνῖνος, υἱὸς αὐτοῦ, σὺν καὶ Λουκίῳ ἀδελφῷ διαδέχεται. ἐν τούτῳ 15 1
δὲ ὁ Πολύκαρπος μεγίστων τὴν Ἀσίαν ἀναθορυβησάντων διωγμῶν
μαρτυρίῳ τελειοῦται, ἀναγκαιότατον δ' αὐτοῦ τὸ τέλος ἐγγράφως
ἔτι φερόμενον ἡγοῦμαι δεῖν μνήμῃ τῆσδε τῆς ἱστορίας καταθέ-
336 σθαι. ἔστιν δὲ ἡ γραφὴ ἐκ προσώπου ἧς αὐτὸς ἐκκλησίας ἡγεῖτο, 2
ταῖς κατὰ τόπον παροικίαις τὰ κατ' αὐτὸν ἀποσημαίνουσα διὰ
τούτων

»Ἡ ἐκκλησία τοῦ θεοῦ ἡ παροικοῦσα Σμύρναν τῇ ἐκκλησίᾳ τοῦ 3
»θεοῦ τῇ παροικούσῃ ἐν Φιλομηλίῳ καὶ πάσαις ταῖς κατὰ πάντα
»τόπον τῆς ἁγίας καθολικῆς ἐκκλησίας παροικίαις ἔλεος εἰρήνη καὶ
»ἀγάπη θεοῦ πατρὸς καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληθυνθείη.
»ἐγράψαμεν ὑμῖν, ἀδελφοί, τὰ κατὰ τοὺς μαρτυρήσαντας καὶ τὸν
»μακάριον Πολύκαρπον, ὅστις ὥσπερ ἐπισφραγίσας διὰ τῆς μαρτυρίας
»αὐτοῦ κατέπαυσε τὸν διωγμόν«.

τούτοις ἑξῆς πρὸ τῆς ἀμφὶ τοῦ Πολυκάρπου διηγήσεως τὰ κατὰ 4
τοὺς λοιποὺς ἀνιστοροῦσι μάρτυρας, οἵας ἐνστάσεις πρὸς τὰς ἀλγη-
δόνας ἐνεδείξαντο, διαγράφοντες. καταπλῆξαι γάρ φασι τοὺς ἐν
κύκλῳ περιεστῶτας, θεωμένους τοτὲ μὲν μάστιξι μέχρι καὶ τῶν ἐν-
δοτάτω φλεβῶν καὶ ἀρτηριῶν καταξαινομένους, ὡς ἤδη καὶ τὰ ἐν
μυχοῖς ἀπόρρητα τοῦ σώματος σπλάγχνα τε αὐτῶν καὶ μέλη κατο-
πτεύεσθαι, τοτὲ δὲ τοὺς ἀπὸ θαλάττης κήρυκας καί τινας ὀξεῖς
ὀβελίσκους ὑποστρωννυμένους, καὶ διὰ παντὸς εἴδους κολάσεων
καὶ βασάνων προϊόντας καὶ τέλος θηρσὶν εἰς βορὰν παραδιδομέ-
νους. μάλιστα δὲ ἱστοροῦσιν διαπρέψαι τὸν γενναιότατον Γερ- 5
μανικόν, ὑπορρωννύντα σὺν θείᾳ χάριτι τὴν ἔμφυτον περὶ τὸν θά-
νατον τοῦ σώματος δειλίαν. βουλομένου γέ τοι τοῦ ἀνθυπάτου
πείθειν αὐτὸν προβαλλομένου τε τὴν ἡλικίαν καὶ ἀντιβολοῦντος
κομιδῇ νέον ὄντα καὶ ἀκμαῖον οἶκτον ἑαυτοῦ λαβεῖν, μὴ μελλῆσαι,
προθύμως δ' ἐπισπάσασθαι εἰς ἑαυτὸν τὸ θηρίον, μόνον οὐχὶ βιασά-

**4—10** Mart. Polyc. 1 — **11**—S. 340, 22 Mart. Pol. 2—7

ATERBDMΣΔ

**20** ὁ > Δ | **24** ἔτι TERBDMΣ ἤδη A

**2** τόπον TER πόντον ABDMΣΔ | **4/5** ἡ παροικοῦσα — θεοῦ > Σ | τῇι — θεοῦ > BD | **14** θεωμένους TEBDM καὶ θεωμένουσ ARΣ | **24** με-λῆσαι Σ

338 *μενον καὶ παροξύναντα, ὡς ἂν τάχιον τοῦ ἀδίκου καὶ ἀνόμου βίου*
*αὐτῶν ἀπαλλαγείη. τούτου δ' ἐπὶ τῷ διαπρεπεῖ θανάτῳ τὸ πᾶν* 6
*πλῆθος ἀποθαυμάσαν τῆς ἀνδρείας τὸν θεοφιλῆ μάρτυρα καὶ τὴν*
*καθόλου τοῦ γένους τῶν Χριστιανῶν ἀρετήν, ἀθρόως ἐπιβοᾶν ἄρ-*
*ξασθαι ›αἶρε τοὺς ἀθέους· ζητείσθω Πολύκαρπος‹. καὶ δὴ πλείστης* 7
*ἐπὶ ταῖς βοαῖς γενομένης ταραχῆς, Φρύγα τινὰ τὸ γένος, Κόϊντον*
*τοὔνομα, νεωστὶ ἐκ τῆς Φρυγίας ἐπιστάντα, ἰδόντα τοὺς θῆρας καὶ*
*τὰς ἐπὶ τούτοις ἀπειλάς, καταπτῆξαι τὴν ψυχὴν μαλακισθέντα καὶ*
*τέλος τῆς σωτηρίας ἐνδοῦναι. ἐδήλου δὲ τοῦτον ὁ τῆς προειρη-* 8
*μένης γραφῆς λόγος προπετέστερον ἀλλ' οὐ κατ' εὐλάβειαν ἐπιπη-*
*δῆσαι τῷ δικαστηρίῳ σὺν ἑτέροις, ἁλόντα δ' οὖν ὅμως καταφανὲς*
*ὑπόδειγμα τοῖς πᾶσιν παρασχεῖν, ὅτι μὴ δέοι τοῖς τοιούτοις ῥιψο-*
*κινδύνως καὶ ἀνευλαβῶς ἐπιτολμᾶν. ἀλλὰ ταύτῃ μὲν εἶχεν πέρας*
*τὰ κατὰ τούτους· τόν γε μὴν θαυμασιώτατον Πολύκαρπον τὰ μὲν* 9
*πρῶτα τούτων ἀκούσαντα ἀτάραχον μεῖναι, εὐσταθὲς τὸ ἦθος καὶ*
*ἀκίνητον φυλάξαντα, βούλεσθαί τε αὐτοῦ κατὰ πόλιν περιμένειν·*
*πεισθέντα γε μὴν ἀντιβολοῦσι τοῖς ἀμφ' αὐτὸν καὶ ὡς ἂν ὑπεξέλθοι*
*παρακαλοῦσι, προελθεῖν εἰς οὐ πόρρω διεστῶτα τῆς πόλεως ἀγρὸν δια-*
*τρίβειν τε σὺν ὀλίγοις ἐνταῦθα, νύκτωρ καὶ μεθ' ἡμέραν οὔτι ἕτερον*
*πράττοντα ἢ ταῖς πρὸς τὸν κύριον διακαρτεροῦντα εὐχαῖς· δι' ὧν*
*δεῖσθαι καὶ ἱκετεύειν εἰρήνην ἐξαιτούμενον ταῖς ἀνὰ πᾶσαν τὴν οἰ-*
*κουμένην ἐκκλησίαις, τοῦτο γὰρ καὶ εἶναι ἐκ τοῦ παντὸς αὐτῷ σύν-*
*ηθες. καὶ δὴ εὐχόμενον, ἐν ὀπτασίᾳ τριῶν πρότερον ἡμερῶν τῆς* 10
*συλλήψεως νύκτωρ ἰδεῖν τὸ ὑπὸ κεφαλῆς αὐτῷ στρῶμα ἀθρόως*
*οὕτως ὑπὸ πυρὸς φλεχθὲν δεδαπανῆσθαι, ἔξυπνον δ' ἐπὶ τούτῳ γε-*
340 *νόμενον, εὐθὺς ὑφερμηνεῦσαι τοῖς παροῦσι τὸ φανέν, μόνον οὐχὶ τὸ*
*μέλλον προθεσπίσαντα σαφῶς τε ἀνειπόντα τοῖς ἀμφ' αὐτὸν ὅτι*
*δέοι αὐτὸν διὰ Χριστὸν πυρὶ τὴν ζωὴν μεταλλάξαι. ἐπικειμένων* 11
*δὴ οὖν σὺν πάσῃ σπουδῇ τῶν ἀναζητούντων αὐτόν, αὖθις ὑπὸ τῆς*
*τῶν ἀδελφῶν διαθέσεως καὶ στοργῆς ἐκβεβιασμένον μεταβῆναί φασιν*
*ἐφ' ἕτερον ἀγρόν· ἔνθα μετ' οὐ πλεῖστον τοὺς συνελαύνοντας ἐπελ-*

ATERBDMΣΔ

**7** *ἰδόντα* AΣ· (*ἰδὼν* Mart) > TERBDMΔ | **8** *καταπτῆξαι* ABDΣ *καταπλῆξαι* TER *κατὰψύξαι* M | **13** *ἐπιτολμᾶν* T[1m]BDM *κατατολμᾶν* TER *ἐπικατατολμᾶν* A | **15** *μεῖναι* BDM *διαμεῖναι* ATER | **16** *κατὰ πόλιν περιμένειν* DM *περιμένειν κατὰ πόλιν* B *κατὰ πόλιν μένειν* TER *κατὰ τὴν πόλιν περιμένειν* A *κατὰ πόλιν μένειν* und *κατὰ τὴν πόλιν μένειν* Mart *κατὰ πόλιν περμέναι* Mart[lat] | **23** *εὐχόμενον* (*προσευχόμενος* Mart) nach alter Interpolation des Martyriums vgl. zu 346, 15

**4** *ὑπὸ* BDM *πρὸσ* ATER

340 ϑεῖν, δύο δὲ τῶν αὐτόϑι συλλαβεῖν παίδων· ὧν ϑάτερον αἰκισα-
μένους ἐπιστῆναι δι᾽ αὐτοῦ τῇ τοῦ Πολυκάρπου καταγωγῇ, ὀψὲ δὲ 12
τῆς ὥρας ἐπελϑόντας, αὐτὸν μὲν εὑρεῖν ἐν ὑπερῴῳ κατακείμενον,
ὅϑεν δυνατὸν ὂν αὐτῷ ἐφ᾽ ἑτέραν μεταστῆναι οἰκίαν, μὴ βεβουλῆσϑαι,
εἰπόντα »τὸ ϑέλημα τοῦ ϑεοῦ γινέσϑω«. καὶ δὴ μαϑὼν παρόντας, 13
ὥς ὁ λόγος φησί, καταβὰς αὐτοῖς διελέξατο εὖ μάλα φαιδρῷ καὶ
πραοτάτῳ προσώπῳ, ὡς καὶ ϑαῦμα δοκεῖν ὁρᾶν τοὺς πάλαι τοῦ
ἀνδρὸς ἀγνῶτας, ἐναποβλέποντας τῷ τῆς ἡλικίας αὐτοῦ παλαιῷ καὶ
τῷ σεμνῷ καὶ εὐσταϑεῖ τοῦ τρόπου, καὶ εἰ τοσαύτη γένοιτο σπουδὴ
ὑπὲρ τοῦ τοιοῦτον συλληφϑῆναι πρεσβύτην. ὃ δ᾽ οὐ μελλήσας 14
εὐϑέως τράπεζαν αὐτοῖς παρατεϑῆναι προστάττει, εἶτα τροφῆς
ἀφϑόνου μεταλαβεῖν ἀξιοῖ, μίαν τε ὥραν, ὡς ἂν προσεύξοιτο ἀδεῶς,
παρ᾽ αὐτῶν αἰτεῖται· ἐπιτρεψάντων δὲ ἀναστὰς ηὔχετο, ἔμπλεως τῆς
χάριτος ὢν τοῦ κυρίου, ὡς ἐκπλήττεσϑαι τοὺς παρόντας εὐχομένου
αὐτοῦ ἀκροωμένους πολλούς τε αὐτῶν μετανοεῖν ἤδη ἐπὶ τῷ τοιοῦ-
τον ἀναιρεῖσϑαι μέλλειν σεμνὸν καὶ ϑεοπρεπῆ πρεσβύτην. ἐπὶ 15
τούτοις ἡ περὶ αὐτοῦ γραφὴ κατὰ λέξιν ὧδέ πως τὰ ἑξῆς τῆς ἱστο-
ρίας ἔχει

»ἐπεὶ δέ ποτε κατέπαυσε τὴν προσευχὴν μνημονεύσας ἁπάντων
»καὶ τῶν πώποτε συμβεβληκότων αὐτῷ, μικρῶν τε καὶ μεγάλων, ἐν-
342 »δόξων τε καὶ ἀδόξων, καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην καϑο-
»λικῆς ἐκκλησίας, τῆς ὥρας ἐλϑούσης τοῦ ἐξιέναι, ὄνῳ καϑίσαντες
»αὐτὸν ἤγαγον εἰς τὴν πόλιν, ὄντος σαββάτου μεγάλου. καὶ ὑπήντα
»αὐτῷ ὁ εἰρήναρχος Ἡρῴδης καὶ ὁ πατὴρ αὐτοῦ Νικήτης· οἳ καὶ
»μεταϑέντες αὐτὸν εἰς τὸ ὄχημα, ἔπειϑον παρακαϑεζόμενοι καὶ λέ-
»γοντες »τί γὰρ κακόν ἐστιν εἰπεῖν, κύριος Καῖσαρ, καὶ ϑῦσαι καὶ
»διασῴζεσϑαι;« ὃ δὲ τὰ μὲν πρῶτα οὐκ ἀπεκρίνατο, ἐπιμενόντων 16
»δὲ αὐτῶν, ἔφη .»οὐ μέλλω πράττειν ὃ συμβουλεύετέ μοι«. οἳ δὲ

**11** vgl. Act. 21, 14 — **25**—S. 352, 13 Mart. Pol. 8—19

ATERBDMΣΔ

**10** ὂν A > TERBDM | **11** ϑυ̅ ATERDMΣ κ̅υ̅ BΔ beides Mart HSS | γενέσϑω B, D[1] corr., Mart | **15** τρόπου TcERBDMΔ (τὴν ἡλικίαν αὐτοῦ καὶ τὸ εὐσταϑές Mart) προσώπου AT[1]Σ | **26** οὐδεπώποτε Σ | συμβεβληκότων ATEM συμβεβηκότων RBD συμβαλόντων und συμβεβηκότων Mart HSS

**3** ἤγαγον ATERM ἦγον BDΔ beides Mart HSS | **6** κ̅σ̅ TERM Mart κ̅ε̅ ABD *mein Herr Caesar* Σ *dicere dominum Caesarem* Δ *domine* [> *Caesar*] Martlat

342 »ἀποτυχόντες τοῦ πεῖσαι αὐτόν, δεινὰ ῥήματα ἔλεγον καὶ μετὰ σπου-
»δῆς καθῄρουν, ὡς κατιόντα ἀπὸ τοῦ ὀχήματος ἀποσῦραι τὸ ἀντι-
»κνήμιον· ἀλλὰ γὰρ μὴ ἐπιστραφείς, οἷα μηδὲν πεπονθώς, προθύμως
»μετὰ σπουδῆς ἐπορεύετο, ἀγόμενος εἰς τὸ στάδιον. θορύβου δὲ 17
»τηλικούτου ὄντος ἐν τῷ σταδίῳ, ὡς μηδὲ πολλοῖς ἀκουσθῆναι, τῷ
»Πολυκάρπῳ εἰσιόντι εἰς τὸ στάδιον φωνὴ ἐξ οὐρανοῦ γέγονεν
»»ἴσχυε, Πολύκαρπε, καὶ ἀνδρίζου«. καὶ τὸν μὲν εἰπόντα οὐδεὶς
»εἶδεν, τὴν δὲ φωνὴν τῶν ἡμετέρων πολλοὶ ἤκουσαν. προσαχθέντος 18
»οὖν αὐτοῦ, θόρυβος ἦν μέγας ἀκουσάντων ὅτι Πολύκαρπος συνεί-
»ληπται. λοιπὸν οὖν προσελθόντα ἀνηρώτα ὁ ἀνθύπατος εἰ αὐτὸς
»εἴη Πολύκαρπος, καὶ ὁμολογήσαντος, ἔπειθεν ἀρνεῖσθαι, λέγων »αἰ-
»δέσθητί σου τὴν ἡλικίαν« καὶ ἕτερα τούτοις ἀκόλουθα, ἃ σύνηθες
344 »αὐτοῖς ἐστι λέγειν, »ὄμοσον τὴν Καίσαρος τύχην, μετανόησον, εἶπον,
»αἶρε τοὺς ἀθέους«. ὁ δὲ Πολύκαρπος ἐμβριθεῖ τῷ προσώπῳ εἰς 19
»πάντα τὸν ὄχλον τὸν ἐν τῷ σταδίῳ ἐμβλέψας, ἐπισείσας αὐτοῖς τὴν
»χεῖρα στενάξας τε καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, εἶπεν »αἶρε τοὺς
»ἀθέους«. ἐγκειμένου δὲ τοῦ ἡγουμένου καὶ λέγοντος »ὄμοσον, καὶ 20
»ἀπολύσω σε, λοιδόρησον τὸν Χριστόν«, ἔφη ὁ Πολύκαρπος »ὀγδοή-
»κοντα καὶ ἓξ ἔτη δουλεύω αὐτῷ, καὶ οὐδέν με ἠδίκησεν· καὶ πῶς
»δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με;« ἐπιμέ- 21
»νοντος δὲ πάλιν αὐτοῦ καὶ λέγοντος »ὄμοσον τὴν Καίσαρος τύχην«,
»ὁ Πολύκαρπος »εἰ κενοδοξεῖς«, φησίν, »ἵνα ὀμόσω τὴν Καίσαρος

**15** vgl. Ios. 1, 9 — **15/16** vgl. Act. 9, 7

ATERBDMΣΔ

**11** *προθύμωσ* ΔD¹MΣ *πρόθυμοσ* TERBDr beides Mart HSS | **12** *ἀγόμενος—στάδιον* gehörte ursprünglich zum Folgenden | **12—14** *θορύβου δὲ—τῷ πολυκάρπῳ ΠΣΔ θορύβου—τῶι δὲ Πολυκάρπωι* Mart | **13** *ὡς—ἀκουσθῆναι* > *Δ* (wegen des Widerspruchs zu 16/17) | *πολλοῖσ ἀκουσθῆναι Π ἀκουσθῆναί τινα δύνασθαι* Mart (*dass*) *viele* (*nicht einmal*) *hörten dass eintrat P. in das Stadion* (*und als er eintrat*) *Σ* | **16** *τῶν ἡμετέρων ΠΣ* Chron. Pasch. 481, 16 Mart > *Δ* | *πολλοὶ ΠΣΔ* Chron *οἱ παρόντες* Mart | **16—18** *προσαχθέντος—προσελθόντα* Doublette zu 12—14 *ἀγόμενος—εἰσιόντι*, entstanden durch die schon vor Eus. erfolgte Interpolation des Wunders: der echte Text lautete etwa *ἀγομένου δ' εἰς τὸ στάδιον, θορύβου τηλικούτου ὄντος, ὡς μηδὲ πολλοῖς ἀκουσθῆναι ὅτι συνείληπται* (vgl. 346, 2—4), *ἀνηρώτα* | **16/17** *προσαχθέντοσ οὖν Π καὶ λοιπὸν προσαχθέντος* Mart | **17** *ἀκουσάντων ΠΣ* Mart *uidentis Δ* | **18** *λοιπὸν οὖν προσελθόντα Π προσαχθέντα οὖν, προσαχθέντα δὲ* und *λοιπὸν προσαχθέντα* Mart

**1** *ἐστι λέγειν* BDM *λέγειν ἐστίν* ATER | **6** *ἀπολύσω Π ἀπολύω Δ* Mart | **7** *δουλεύω ΠΔ* Chron. Pasch. 481, 12 *δουλεύω* und *ἔχω δουλεύων* Mart HSS

344 ›τύχην, ὡς λέγεις προσποιούμενος ἀγνοεῖν ὅστις εἰμί, μετὰ παρρησίας
›ἄκουε· Χριστιανός εἰμι. εἰ δὲ θέλεις τὸν τοῦ Χριστιανισμοῦ μαθεῖν
›λόγον, δὸς ἡμέραν καὶ ἄκουσον«. ἔφη ὁ ἀνθύπατος »πεῖσον τὸν 22
›δῆμον«. Πολύκαρπος ἔφη »σὲ μὲν καὶ λόγου ἠξίωκα, δεδιδάγμεθα
›γὰρ ἀρχαῖς καὶ ἐξουσίαις ὑπὸ θεοῦ τεταγμέναις τιμὴν κατὰ τὸ
›προσῆκον τὴν μὴ βλάπτουσαν ἡμᾶς ἀπονέμειν· ἐκείνους δὲ οὐκ
›ἀξίους ἡγοῦμαι τοῦ ἀπολογεῖσθαι αὐτοῖς«. ὁ δ᾽ ἀνθύπατος εἶπεν 23
›»θηρία ἔχω· τούτοις σε παραβαλῶ, ἐὰν μὴ μετανοήσῃς«. ὁ δὲ εἶπεν
›»κάλει· ἀμετάθετος γὰρ ἡμῖν ἡ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω
›μετάνοια, καλὸν δὲ μετατίθεσθαι ἀπὸ τῶν χαλεπῶν ἐπὶ τὰ δίκαια«.
›ὁ δὲ πάλιν πρὸς αὐτόν »πυρί σε ποιήσω δαμασθῆναι, ἐὰν τῶν θη- 24
›ρίων καταφρονῇς, ἐὰν μὴ μετανοήσῃς«. Πολύκαρπος εἶπεν »πῦρ
›ἀπειλεῖς πρὸς ὥραν καιόμενον καὶ μετ᾽ ὀλίγον σβεννύμενον· ἀγνοεῖς
›γὰρ τὸ τῆς μελλούσης κρίσεως καὶ αἰωνίου κολάσεως τοῖς ἀσεβέσι
›τηρούμενον πῦρ. ἀλλὰ τί βραδύνεις; φέρε ὃ βούλει«. ταῦτα δὲ καὶ 25
›ἕτερα πλείονα λέγων, θάρσους καὶ χαρᾶς ἐνεπίμπλατο καὶ τὸ πρόσω-
345 ›πον αὐτοῦ χάριτος ἐπληροῦτο, ὥστε μὴ μόνον μὴ συμπεσεῖν τα-
›ραχθέντα ὑπὸ τῶν λεγομένων πρὸς αὐτόν, ἀλλὰ τοὐναντίον τὸν
›ἀνθύπατον ἐκστῆναι πέμψαι τε τὸν κήρυκα καὶ ἐν μέσῳ τῷ σταδίῳ
›κηρῦξαι »τρὶς Πολύκαρπος ὡμολόγησεν ἑαυτὸν Χριστιανὸν εἶναι«.
›τούτου λεχθέντος ὑπὸ τοῦ κήρυκος, πᾶν τὸ πλῆθος ἐθνῶν τε καὶ 26
›Ἰουδαίων τῶν τὴν Σμύρναν κατοικούντων ἀκατασχέτῳ θυμῷ καὶ
›μεγάλῃ φωνῇ ἐβόα »οὗτός ἐστιν ὁ τῆς Ἀσίας διδάσκαλος, ὁ πατὴρ
›τῶν Χριστιανῶν, ὁ τῶν ἡμετέρων θεῶν καθαιρέτης, ὁ πολλοὺς
›διδάσκων μὴ θύειν μηδὲ προσκυνεῖν«. ταῦτα λέγοντες, ἐπεβόων 27
›καὶ ἠρώτων τὸν ἀσιάρχην Φίλιππον ἵνα ἐπαφῇ τῷ Πολυκάρπῳ
›λέοντα· ὁ δὲ ἔφη μὴ εἶναι ἐξὸν αὐτῷ, ἐπειδὴ πεπληρώκει τὰ κυνη-
›γέσια. τότε ἔδοξεν αὐτοῖς ὁμοθυμαδὸν ἐπιβοῆσαι ὥστε ζῶντα τὸν
›Πολύκαρπον κατακαῦσαι. ἔδει γὰρ τὸ τῆς φανερωθείσης αὐτῷ ἐπὶ 28

**14—16** Rom. 13, 1

ATERBDMΣΔ

**14** *ἠξίωκα* BDM *ἠξίωσα* ATER beides Mart HSS | **17** *τοῦ* $AT^c$ER Mart > $T^1$BDM | *εἶπεν* BDM Mart *ἔφη* ATER | **18** *παραβαλῶ* ABDΔ Mart *παραβάλλω* TERM | **21** *ποιήσω* ARBDMΔ *ποιῶ* TE beides Mart HSS | *δαμασθῆναι ΠΣ* *consumi* Δ *δαπανηθῆναι* Mart | **25** *ὃ* TEBDMΣΔ Mart *ἃ* AR | **26** *πλείονα* BDM Mart *πλείω* TER *πλείω τούτων* ΑΣ

**1** *μόνον μὴ* ATERDΣ *μόνον* BM beides Mart HSS | **3** *καὶ* > Mart | **5** *τούτου* ATERBD *τούτου δὲ* MΣ beides Mart HSS | *ἐθνῶν* BD Mart *τῶν ἐθνῶν* ATERM | **10** *αἱρεσιάρχην* B | **12** man verlangt *ἐπιβοῶσιν*

346 ›τοῦ προσκεφαλαίου ὀπτασίας πληρωθῆναι, ὅτε ἰδὼν αὐτὸ καιόμενον
›προσευχόμενος, εἶπεν ἐπιστραφεὶς τοῖς μετ᾽ αὐτοῦ πιστοῖς προφη-
›τικῶς »δεῖ με ζῶντα καῆναι«. ταῦτα οὖν μετὰ τοσούτου τάχους 29
›ἐγένετο θᾶττον ἢ ἐλέγετο, τῶν ὄχλων παραχρῆμα συναγόντων ἐκ
›τῶν ἐργαστηρίων καὶ ἐκ τῶν βαλανείων ξύλα καὶ φρύγανα, μάλιστα
›Ἰουδαίων προθύμως, ὡς ἔθος αὐτοῖς, εἰς ταῦτα ὑπουργούντων.
›ἀλλ᾽ ὅτε ἡ πυρὰ ἡτοιμάσθη, ἀποθέμενος ἑαυτῷ πάντα τὰ ἱμάτια 30
›καὶ λύσας τὴν ζώνην, ἐπειρᾶτο καὶ ὑπολύειν ἑαυτόν, μὴ πρότερον
›τοῦτο ποιῶν διὰ τὸ ἀεὶ ἕκαστον τῶν πιστῶν σπουδάζειν ὅστις
›τάχιον τοῦ χρωτὸς αὐτοῦ ἐφάψηται· ἐν παντὶ γὰρ ἀγαθῆς ἕνεκεν
›πολιτείας καὶ πρὸ τῆς πολιᾶς ἐκεκόσμητο. εὐθέως οὖν αὐτῷ περιε- 31
›τίθετο τὰ πρὸς τὴν πυρὰν ἡρμοσμένα ὄργανα· μελλόντων δὲ αὐτῶν
›καὶ προσηλοῦν αὐτόν, εἶπεν »ἄφετέ με οὕτως· ὁ γὰρ διδοὺς ὑπο-
›μεῖναι τὸ πῦρ δώσει καὶ χωρὶς τῆς ὑμετέρας ἐκ τῶν ἥλων ἀσφα-
›λείας ἀσκύλτως ἐπιμεῖναι τῇ πυρᾷ«. οἱ δὲ οὐ καθήλωσαν, προσέ- 32
348 ›δησαν δὲ αὐτόν. ὃ δ᾽ ὀπίσω τὰς χεῖρας ποιήσας καὶ προσδεθεὶς
›ὥσπερ κριὸς ἐπίσημος, ἀναφερόμενος ἐκ μεγάλου ποιμνίου ὁλοκαύ- 33
›τωμα δεκτὸν θεῷ παντοκράτορι, εἶπεν »ὁ τοῦ ἀγαπητοῦ καὶ εὐ-
›λογητοῦ παιδός σου Ἰησοῦ Χριστοῦ πατήρ, δι᾽ οὗ τὴν περὶ σὲ
›ἐπίγνωσιν εἰλήφαμεν, ὁ θεὸς ἀγγέλων καὶ δυνάμεων καὶ πάσης
›κτίσεως παντός τε τοῦ γένους τῶν δικαίων οἳ ζῶσιν ἐνώπιόν σου,
›εὐλογῶ σε ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης, τοῦ λαβεῖν
›μέρος ἐν ἀριθμῷ τῶν μαρτύρων ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ σου
›εἰς ἀνάστασιν ζωῆς αἰωνίου ψυχῆς τε καὶ σώματος ἐν ἀφθαρσίᾳ 34
›πνεύματος ἁγίου· ἐν οἷς προσδεχθείην ἐνώπιόν σου σήμερον ἐν
›θυσίᾳ πίονι καὶ προσδεκτῇ, καθὼς προητοίμασας, προφανερώσας 35
›καὶ πληρώσας ὁ ἀψευδὴς καὶ ἀληθινὸς θεός. διὰ τοῦτο καὶ περὶ
›πάντων σὲ αἰνῶ, σὲ εὐλογῶ, σὲ δοξάζω διὰ τοῦ αἰωνίου ἀρχιερέως

**2/3** Sap. Sal. 3, 6

ATERBDMΣΛ

**15** *προσευχόμενος* und *ἐπιστραφείς* voreusebianische Interpolationen | **16** *καῆναι* TERBDM *κατακαῆναι* A *καῆναι* und *κατακαυθῆναι* Mart | **17** *ἐγένετο* ATER *ἐγίνετο* BDM beides Mart HSS | *θᾶττον ἢ* altes Glossem, man verlangt ὡς | *συναγόντων* ATERM *συναγαγόντων* B, $D^1$ auf Rasur, beides Mart HSS | **23** *ἐφάψηται* ABDM *ἐφάψεται* TER *ἅψηται* Mart | **23/24** *in aller guten Lebensweise* Σ

**5** *πάσησ* ATER *πάσησ τῆσ* BDM beides Mart HSS | **7** *ἠξίωσάσ* AB *κατηξίωσάσ* TERDM beides Mart HSS | **8** *σου* $T^c$ERΛ > $AT^1$BDMΣ beides Mart HSS | **13** *ἀρχιερέωσ* *ΠΣ* Mart *θεοῦ καὶ ἀρχιερέως Λ*

348 »Ἰησοῦ Χριστοῦ τοῦ ἀγαπητοῦ σου παιδός, δι' οὗ σοι σὺν αὐτῷ ἐν
»πνεύματι ἁγίῳ δόξα καὶ νῦν καὶ εἰς τοὺς μέλλοντας αἰῶνας, ἀμήν«.
»ἀναπέμψαντος δὲ αὐτοῦ τὸ ἀμὴν καὶ πληρώσαντος τὴν προσευχήν, 36
»οἱ τοῦ πυρὸς ἄνθρωποι ἐξῆψαν τὸ πῦρ, μεγάλης δὲ ἐκλαμψάσης
»φλογὸς θαῦμα εἴδομεν οἷς ἰδεῖν ἐδόθη, οἳ καὶ ἐτηρήθησαν εἰς τὸ
»ἀναγγεῖλαι τοῖς λοιποῖς τὰ γενόμενα. τὸ γὰρ πῦρ καμάρας εἶδος 37
»ποιῆσαν ὥσπερ ὀθόνης πλοίου ὑπὸ πνεύματος πληρουμένης, κύκλῳ
»περιετείχισε τὸ σῶμα τοῦ μάρτυρος, καὶ ἦν μέσον οὐχ ὡς σὰρξ
»καιομένη, ἀλλ' ὡς χρυσὸς καὶ ἄργυρος ἐν καμίνῳ πυρούμενος· καὶ
»γὰρ εὐωδίας τοσαύτης ἀντελαβόμεθα ὡς λιβανωτοῦ πνέοντος ἢ
»ἄλλου τινὸς τῶν τιμίων ἀρωμάτων. πέρας γοῦν ἰδόντες οἱ ἄνομοι 38
»μὴ δυνάμενον τὸ σῶμα ὑπὸ τοῦ πυρὸς δαπανηθῆναι, ἐκέλευσαν
»προσελθόντα αὐτῷ κομφέκτορα παραβῦσαι ξίφος, καὶ τοῦτο ποιή- 39
»σαντος, ἐξῆλθεν πλῆθος αἵματος, ὥστε κατασβέσαι τὸ πῦρ καὶ θαυ-
350 »μάσαι πάντα τὸν ὄχλον εἰ τοσαύτη τις διαφορὰ μεταξὺ τῶν τε
»ἀπίστων καὶ τῶν ἐκλεκτῶν· ὧν εἷς καὶ οὗτος γέγονεν ὁ θαυμα-
»σιώτατος ἐν τοῖς καθ' ἡμᾶς χρόνοις διδάσκαλος ἀποστολικὸς καὶ
»προφητικὸς γενόμενος ἐπίσκοπος τῆς ἐν Σμύρνῃ καθολικῆς ἐκκλη-
»σίας· πᾶν γὰρ ῥῆμα ὃ ἀφῆκεν ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἐτελειώθη
»καὶ τελειωθήσεται.

»ὁ δὲ ἀντίζηλος καὶ βάσκανος πονηρός, ὁ ἀντικείμενος τῷ γένει 40
»τῶν δικαίων, ἰδὼν τὸ μέγεθος αὐτοῦ τῆς μαρτυρίας καὶ τὴν ἀπ'
»ἀρχῆς ἀνεπίληπτον πολιτείαν ἐστεφανωμένον τε τὸν τῆς ἀφθαρσίας

**22** Sap. Sal. 3, 6

ATERBDMΣΔ

**14** *ἐν Π* *σὺν* Σ beides Δ HSS *καὶ* Mart | **15** *καὶ νῦν* ATERMΔ *νῦν* BD beides Mart HSS | *αἰῶνασ* ATERDM *αἰῶνασ τῶν αἰώνων* BΣ beides Δ HSS Mart HSS | **18/19** *οἳ—τὰ γενόμενα* alte Interpolation | **21** *μέσον* BDM Mart *εἰσ μέσον* ATER | **23** *τοσαύτησ* T^c ERBM Mart *τοιαύτησ* AT^1 D > Δ | *ἀντελαβόμεθα* ATER Mart *ἀντελαμβανόμεθα* BDM | **26** *speculator* Σ | *ξίφοσ* TERBDM *τὸ ξίφοσ* A *ξιφίδιον* Mart

**1** *πάντα τὸν ὄχλον* ABDM *τὸν ὄχλον πάντα* TER *πάντα τὸν ὄχλον* und *τὸν ὄχλον* Mart HSS | **2/3** *ὁ θαυμασιώτατοσ* ADM *θαυμασιώτατοσ* TER > B *ὁ μακάριος θαυμάσιος* oder *θαυμασιώτατος* Σ *admirabilis et electus* Δ *ὁ θαυμασιώτατοσ* und *ὁ μακάριοσ καὶ θαυμασιώτατοσ* und *ὁ θαυμάσιοσ* Mart HSS | **3** *διδάσκαλοσ* ΠΔ Mart *Nachahmer* Σ | **4** *ἐπίσκοπος* interpolirt um *διδάσκαλος* zu ersetzen | *καθολικῆς* > ΣΔ | **5** *καὶ* ARBDΔ > TEM beides Mart HSS | **7** *πονηρὸσ* BDMΣ *καὶ πονηρὸσ* ATER beides Mart HSS | **9** *πολιτείαν* BDM *αὐτοῦ πολιτείαν* ATERΣ beides Mart HSS

**350** ›στέφανον καὶ βραβεῖον ἀναντίρρητον ἀπενηνεγμένον, ἐπετήδευσεν
›ὡς μηδὲ τὸ σωμάτιον αὐτοῦ ὑφ' ἡμῶν ληφθείη, καίπερ πολλῶν
›ἐπιθυμούντων τοῦτο ποιῆσαι καὶ κοινωνῆσαι τῷ ἁγίῳ αὐτοῦ σαρ-
›κίῳ. ὑπέβαλον γοῦν τινες Νικήτην, τὸν τοῦ Ἡρῴδου πατέρα, 41
›ἀδελφὸν [δὲ] δ' Ἄλκης, ἐντυχεῖν τῷ ἡγεμόνι ὥστε μὴ δοῦναι αὐτοῦ
›τὸ σῶμα, »μή«, φησίν, »ἀφέντες τὸν ἐσταυρωμένον, τοῦτον ἄρξων-
›ται σέβειν«. καὶ ταῦτα εἶπον ὑποβαλόντων καὶ ἐνισχυσάντων τῶν
›Ἰουδαίων· οἳ καὶ ἐτήρησαν μελλόντων ἡμῶν ἐκ τοῦ πυρὸς αὐτὸν
›λαμβάνειν, ἀγνοοῦντες ὅτι οὔτε τὸν Χριστόν ποτε καταλιπεῖν δυ-
›νησόμεθα, τὸν ὑπὲρ τῆς τοῦ παντὸς κόσμου τῶν σῳζομένων σω-
›τηρίας παθόντα, οὔτε ἕτερόν τινα σέβειν. τοῦτον μὲν γὰρ υἱὸν ὄντα 42
›τοῦ θεοῦ προσκυνοῦμεν, τοὺς δὲ μάρτυρας ὡς μαθητὰς καὶ μιμη-
**352** ›τὰς τοῦ κυρίου ἀγαπῶμεν ἀξίως ἕνεκα εὐνοίας ἀνυπερβλήτου τῆς
›εἰς τὸν ἴδιον βασιλέα καὶ διδάσκαλον· ὧν γένοιτο καὶ ἡμᾶς συγκοι-
›νωνούς τε καὶ συμμαθητὰς γενέσθαι. ἰδὼν οὖν ὁ ἑκατοντάρχης τὴν 43
›τῶν Ἰουδαίων γενομένην φιλονεικίαν, θεὶς αὐτὸν ἐν μέσῳ, ὡς ἔθος
›αὐτοῖς, ἔκαυσεν. οὕτως τε ἡμεῖς ὕστερον ἀνελόμενοι τὰ τιμιώτερα
›λίθων πολυτελῶν καὶ δοκιμώτερα ὑπὲρ χρυσίον ὀστᾶ αὐτοῦ ἀπε-
›θέμεθα ὅπου καὶ ἀκόλουθον ἦν. ἔνθα, ὡς δυνατόν, ἡμῖν συναγο- 44
›μένοις ἐν ἀγαλλιάσει καὶ χαρᾷ παρέξει ὁ κύριος ἐπιτελεῖν τὴν τοῦ
›μαρτυρίου αὐτοῦ ἡμέραν γενέθλιον εἴς τε τὴν τῶν προηθληκότων
›μνήμην καὶ τῶν μελλόντων ἄσκησίν τε καὶ ἑτοιμασίαν. τοιαῦτα τὰ 45
›κατὰ τὸν μακάριον Πολύκαρπον· σὺν τοῖς ἀπὸ Φιλαδελφείας δωδέ-

ATERBDMΣΛ

**12/13** *τῶ ἁγίω αὐτοῦ σαρκίω* ATER *αὐτοῦ τῶ ἁγίω σαρκίω* BDM *τῶι ἁγίωι αὐτοῦ σαρκίωι* und *τῶι ἁγίωι σαρκίωι αὐτοῦ* Mart HSS | **14** *δὲ Ἄλκης* Mart *δὲ ἄλκησ* D durch Rasur corr. *δὲ δάλκησ* ATERBD¹MΣΛ | **16** *εἶπον* TERBDM *εἰπὼν* A > ΣΛ *εἰπὼν* und > Mart HSS | *ὑποβαλόντων* ABD *ὑποβαλλόντων* TERM Mart | *τῶν* A > TERBDM beides Mart HSS | **19** *τῶν σωζομένων* ATcmERBDMΣ > T¹Λ nach Conjectur, beides Mart HSS *τοῦ παντὸς κόσμου* ist alte Correctur von *τῶν σωιζομένων* | **20** *υἱὸν ὄντα* BDM Mart *ὄντα υἱὸν* ATER

**3** *συμμαθητὰσ* ATERM Mart *μαθητὰσ* BD Chron pasch 481, 22 Σ | **11** *πολύκαρπον* Π *Πολύκαρπον ὃς* Mart | **11/12** *δωδεκάτου* ERDr *δώδεκα τοῦ* ABM *δώδεκάτου* T *δωδεκά//////* D¹ *mit den 12 von Philadelphia die zeugten* Σ *cum quo etiam alii duodecim ex Philadelphia uenientes . . martyrio consummati sunt* Λ *δωδέκατος* Mart

352 ›*κάτου ἐν Σμύρνῃ μαρτυρήσαντος,* [ὃς] *μόνος ὑπὸ πάντων μᾶλλον*
›*μνημονεύεται, ὡς καὶ ὑπὸ τῶν ἐθνῶν ἐν παντὶ τόπῳ λαλεῖσθαι*‹.

*τὰ μὲν δὴ κατὰ τὸν θαυμάσιον καὶ ἀποστολικὸν Πολύκαρπον* 46
*τοιούτου κατηξίωτο τέλους, τῶν κατὰ τὴν Σμυρναίων ἐκκλησίαν*
*ἀδελφῶν τὴν ἱστορίαν ἐν ᾗ δεδηλώκαμεν αὐτῶν ἐπιστολῇ κατατεθειμένων· ἐν τῇ αὐτῇ δὲ περὶ αὐτοῦ γραφῇ καὶ ἄλλα μαρτύρια*
*συνῆπτο κατὰ τὴν αὐτὴν Σμύρναν πεπραγμένα ὑπὸ τὴν αὐτὴν*
*περίοδον τοῦ χρόνου τῆς τοῦ Πολυκάρπου μαρτυρίας, μεθ᾽ ὧν καὶ*
*Μητρόδωρος τῆς κατὰ Μαρκίωνα πλάνης πρεσβύτερος δὴ εἶναι*
*δοκῶν πυρὶ παραδοθεὶς ἀνῄρηται. τῶν γε μὴν τότε περιβόητος* 47
354 *μάρτυς εἷς τις ἐγνωρίζετο Πιόνιος· οὗ τὰς κατὰ μέρος ὁμολογίας*
*τήν τε τοῦ λόγου παρρησίαν καὶ τὰς ὑπὲρ τῆς πίστεως ἐπὶ τοῦ*
*δήμου καὶ τῶν ἀρχόντων ἀπολογίας διδασκαλικάς τε δημηγορίας*
*καὶ ἔτι τὰς πρὸς τοὺς ὑποπεπτωκότας τῷ κατὰ τὸν διωγμὸν πειρασμῷ δεξιώσεις παραμυθίας τε ἃς ἐπὶ τῆς εἱρκτῆς τοῖς παρ᾽ αὐτὸν*
*εἰσαφικνουμένοις ἀδελφοῖς παρετίθετο, ἅς τε ἐπὶ τούτοις ὑπέμεινεν*
*βασάνους, καὶ τὰς ἐπὶ ταύταις ἀλγηδόνας καθηλώσεις τε καὶ τὴν*
*ἐπὶ τῆς πυρᾶς καρτερίαν τήν τε ἐφ᾽ ἅπασιν τοῖς παραδόξοις αὐτοῦ*
*τελευτὴν πληρέστατα τῆς περὶ αὐτοῦ γραφῆς περιεχούσης, τοὺς οἷς*
*φίλον, ἐπὶ ταύτην ἀναπέμψομεν τοῖς τῶν ἀρχαίων συναχθεῖσιν ἡμῖν*
*μαρτυρίοις ἐντεταγμένην.* *ἑξῆς δὲ καὶ ἄλλων ἐν Περγάμῳ πόλει* 48
*τῆς Ἀσίας ὑπομνήματα μεμαρτυρηκότων φέρεται, Κάρπου καὶ Πα-*

**11—14** TU 3, 440—454

ATERBDMΣ*Δ*

**12** *μαρτυρήσαντος* Schw *μαρτυρήσαντοσ ὃσ* *Π* *μαρτυρήσας* Mart | **12—17** *ὃς—κατατεθειμένων* > *Δ* | **12** *ὑπὸ πάντων μᾶλλον* *Π* *πάντων μᾶλλον* Σ *solus inter ceteros* Mart$^{lat}$ *ὑπὸ πάντων* Mart; ursprünglich ist nur *πάντων μᾶλλον*, das durch *μόνος* ersetzt werden sollte; diese Correctur wurde dann durch *ὑπὸ* mit dem echten verbunden, alles schon in voreusebianischer Zeit | **21** zwischen *δοκῶν* und *πυρὶ* + *er dem ein Glaube der Auferstehung nicht war so dass wegen des Nacheiferns der Zeugen Gottes auch er* (*dem Feuer überliefert wurde* usw.) Σ | | **21**/354, 1 *περιβοήτων μαρτύρων* DMΣ

**3** *διδασκαλικάσ τε δημηγορίασ* BDM *διδασκαλίασ τε δημηγορίασ* T$^{1}$ *διδασκαλίασ τε καὶ δημηγορίασ* AT$^{c}$ER *seine Lehre vor jedermanns Auge* Σ *docens et disputans etiam in ipsis tribunalibus* *Δ* | **6** *ὑπέμεινεν* ABM *ὑπέμενεν* TERD | **7** *καὶ*$^{1}$ BDM *τε καὶ* ATER | **9** *πληρέστατα τῆσ* BDMΣ *πληρεστάτην* A *πληρεστάτη* T$^{1}$ *πληρεστάτησ* T$^{c}$ER | *γραφῆσ* TERBDMΣ *γραφὴν* A | **12/13** *παπύλου* *ΠΣ* *Papirii* *Δ* *Παπίας* Chron pasch 481, 19

354 πύλου καὶ γυναικὸς Ἀγαθονίκης, μετὰ πλείστας καὶ διαπρεπεῖς ὁμο-
λογίας ἐπιδόξως τετελειωμένων.
Κατὰ τούτους δὲ καὶ ὁ μικρῷ πρόσθεν ἡμῖν δηλωθεὶς Ἰουστῖνος Iς 16 1
δεύτερον ὑπὲρ τῶν καθ᾽ ἡμᾶς δογμάτων βιβλίον ἀναδοὺς τοῖς δεδη-
λωμένοις ἄρχουσιν, θείῳ κατακοσμεῖται μαρτυρίῳ, φιλοσόφου Κρή-
σκεντος (τὸν φερώνυμον δ᾽ οὗτος τῇ Κυνικῇ προσηγορίᾳ βίον τε
καὶ τρόπον ἐζήλου) τὴν ἐπιβουλὴν αὐτῷ καττύσαντος, ἐπειδὴ πλεο-
νάκις ἐν διαλόγοις ἀκροατῶν παρόντων εὐθύνας αὐτόν, τὰ νικη-
τήρια τελευτῶν ἧς ἐπρέσβευεν ἀληθείας διὰ τοῦ μαρτυρίου τοῦ κατ᾽
αὐτὸν ἀνεδήσατο. τοῦτο δὲ καὶ αὐτὸς ὁ ταῖς ἀληθείαις φιλο- 2
σοφώτατος ἐν τῇ δεδηλωμένῃ ἀπολογίᾳ σαφῶς οὕτως, ὥσπερ οὖν
356 καὶ ἔμελλεν ὅσον οὔπω περὶ αὐτὸν συμβήσεσθαι, προλαβὼν ἀποση-
μαίνει τούτοις τοῖς ῥήμασιν

›κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευ- 3
›θῆναι καὶ ξύλῳ ἐντιναγῆναι ἢ κἂν ὑπὸ Κρήσκεντος τοῦ ἀφιλο-
›σόφου καὶ φιλοκόμπου· οὐ γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τὸν ἄνδρα,
›ὅς γε περὶ ὧν μὴ ἐπίσταται, δημοσίᾳ καταμαρτυρεῖ ὡς ἀθέων καὶ
›ἀσεβῶν Χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδονὴν τῶν πολλῶν
›τῶν πεπλανημένων τοῦτο πράττων. εἴτε γὰρ μὴ ἐντυχὼν τοῖς 4
›τοῦ Χριστοῦ διδάγμασιν κατατρέχει ἡμῶν, παμπόνηρός ἐστιν καὶ
›ἰδιωτῶν πολὺ χείρων, οἳ φυλάττονται πολλάκις περὶ ὧν οὐκ ἐπί-
›στανται, διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν· καὶ εἰ ἐντυχὼν μὴ συνῆκεν
›τὸ ἐν αὐτοῖς μεγαλεῖον ἢ συνεὶς πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος
›ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγεννὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ 5
›ἀλόγου δόξης καὶ φόβου ἐλάττων ὤν. καὶ γὰρ προθέντα με καὶ
›ἐρωτήσαντα αὐτὸν ἐρωτήσεις τινὰς τοιαύτας, μαθεῖν καὶ ἐλέγξαι
›ὅτι ἀληθῶς μηδὲν ἐπίσταται, εἰδέναι ὑμᾶς βούλομαι, καὶ ὅτι ἀληθῆ

**15** 314, 17 ff. 324, 10 ff. — **16/17** 334, 19—21

**3—23** Iustin. apol. 2, 3 — **3—8. 16—23** Chron. pasch. 482, 10—483, 7

ATERBDMΣΛ

**19** *καττύσαντοσ* ERB$^1$DM *γρ καττύσαντοσ* T$^{m}$ *καταρτύσαντοσ* AT$^1$, B durch Rasur | *ἐπειδὴ* T$^c$ERDM *ἐπείπερ* AT$^1$ *ἐπεὶ* B | **20** *ἀκροατῶν παρόντων* BDMΣ *auditoribus mediis* Λ *ἐπ᾽ ἀκροατῶν* ATER | **21** *ἧσ* TERBDM *ὑπὲρ ἧσ* ΑΣ

**4** *καὶ* BD Iust Chron pasch *κἂν* ATERM | *ἐντιναγῆναι* ΠΛ *ἐντιναχθῆναι* Chron pasch *ἐμπαγῆναι* Σ Iust | *καὶ* BD | **4/5** *ἀφιλοσόφου* ARBDMΣΛ *φιλοσόφου* TE Chron pasch *φιλοψόφου* Iust | **5** *καὶ* BDMΣ Iust Chron pasch *ἢ καὶ* ATER *sed* Λ | **14** *ἐλάττων ὤν* AT$^c$ER Iust *ὢν ἐλάττω* B *ὢν ἐλάττων* D *ὢν ἔλαττον* M *ἐλαττόνων* T$^1$

356 »λέγω, εἰ μὴ ἀνηνέχθησαν ὑμῖν αἱ κοινωνίαι τῶν λόγων, ἕτοιμος
»καὶ ἐφ᾽ ὑμῶν κοινωνεῖν τῶν ἐρωτήσεων πάλιν· βασιλικὸν δ᾽ ἂν
»καὶ τοῦτο ἔργον εἴη. εἰ δὲ καὶ ἐγνώσθησαν ὑμῖν αἱ ἐρωτήσεις μου 6
»καὶ αἱ ἐκείνου ἀποκρίσεις, φανερὸν ὑμῖν ἐστιν ὅτι οὐδὲν τῶν ἡμε-
»τέρων ἐπίσταται· ἢ εἰ ἐπίσταται, διὰ τοὺς ἀκούοντας δὲ οὐ τολμᾷ
»λέγειν, ὡς πρότερον ἔφην, οὐ φιλόσοφος, ἀλλὰ φιλόδοξος ἀνὴρ
»δείκνυται, ὅς γε μηδὲ τὸ Σωκρατικόν, ἀξιέραστον ὄν, τιμᾷ«.

358 ταῦτα μὲν οὖν ὁ Ἰουστῖνος· ὅτι δὲ κατὰ τὴν αὐτοῦ πρόρρησιν 7
πρὸς τοῦ Κρήσκεντος συσκευασθεὶς ἐτελειώθη, Τατιανός, ἀνὴρ τὸν
πρῶτον αὐτοῦ βίον σοφιστεύσας ἐν τοῖς Ἑλλήνων μαθήμασι καὶ
δόξαν οὐ σμικρὰν ἐν αὐτοῖς ἀπενηνεγμένος πλεῖστά τε ἐν συγγράμ-
μασιν αὐτοῦ καταλιπὼν μνημεῖα, ἐν τῷ Πρὸς Ἕλληνας ἱστορεῖ, λέ-
γων ὧδε

»καὶ ὁ θαυμασιώτατος Ἰουστῖνος ὀρθῶς ἐξεφώνησεν ἐοικέναι
»τοὺς προειρημένους λησταῖς«.

εἶτ᾽ ἐπειπών τινα περὶ τῶν φιλοσόφων, ἐπιλέγει ταῦτα 8

»Κρήσκης γοῦν ὁ ἐννεοττεύσας τῇ μεγάλῃ πόλει παιδεραστίᾳ
»μὲν πάντας ὑπερήνεγκεν, φιλαργυρίᾳ δὲ πάνυ προσεχὴς ἦν· θανάτου 9
»δὲ ὁ καταφρονεῖν συμβουλεύων οὕτως αὐτὸς ἐδεδίει τὸν θάνατον,
»ὡς καὶ Ἰουστῖνον, καθάπερ μεγάλῳ κακῷ, τῷ θανάτῳ περιβαλεῖν
»πραγματεύσασθαι, διότι κηρύττων τὴν ἀλήθειαν λίχνους τοὺς φι-
»λοσόφους καὶ ἀπατεῶνας συνήλεγχεν«.

καὶ τὸ μὲν κατὰ Ἰουστῖνον μαρτύριον τοιαύτην εἴληχεν αἰτίαν·
ὁ δ᾽ αὐτὸς ἀνὴρ πρὸ τοῦ κατ᾽ αὐτὸν ἀγῶνος ἑτέρων πρὸ αὐτοῦ IZ 17 1
μαρτυρησάντων ἐν τῇ προτέρᾳ μνημονεύει ἀπολογίᾳ, χρησίμως τῇ
ὑποθέσει καὶ ταῦτα ἱστορῶν· γράφει δὲ ὧδε 2

**22** 4/5 — **23** Plat. resp. 10, 595c

**2/3** Tatian. p. 36, 26 — **7/8** Tatian. p. 20, 15—17 — **10—16** Tatian. p. 21, 1—6

ATERBDMΣΔ

**21** *ἢ εἰ* ATERDM *ἢ* B *ἢ εἰ καὶ* Iust | **22** *ὁ ἀνὴρ* M *ἀνὴρ* ATERBD

**6** *ὧδε* TERBD *ὧδέ πωσ* AM | **15** *συνήλεγχεν* BD Tat *ἐξήλεγχεν* ARM *ἐξήλεγχε* TE | **16** *αἰτίαν* BDM *τὴν αἰτίαν* ATER | **17** *ἀγῶνοσ* BDMΔ *μαρτυρίου* ATERΣ | **18** *προτέρα* TERBDM *προτέρα αὐτοῦ* AΔ *in der ersten Vertheidigung welche von ihm gemacht ist den Königen* Σ

358 »γυνή τις συνεβίου ἀνδρὶ ἀκολασταίνοντι, ἀκολασταίνουσα καὶ
21 »αὐτὴ πρότερον· ἐπειδὴ δὲ τὰ τοῦ Χριστοῦ διδάγματα ἔγνω, ἐσω-
»φρονίσθη, καὶ τὸν ἄνδρα ὁμοίως σωφρονεῖν πείθειν ἐπειρᾶτο, τὰ
»διδάγματα ἀναφέρουσα τήν τε μέλλουσαν τοῖς οὐ σωφρόνως καὶ
360 »μετὰ λόγου ὀρθοῦ βιοῦσιν ἔσεσθαι ἐν αἰωνίῳ πυρὶ κόλασιν ἀπαγ-
»γέλλουσα. ὁ δὲ ταῖς αὐταῖς ἀσελγείαις ἐπιμένων, ἀλλοτρίαν διὰ 3
»τῶν πράξεων ἐποιεῖτο τὴν γαμετήν· ἀσεβὲς γὰρ ἡγουμένη τὸ λοιπὸν
»ἡ γυνὴ συγκατακλίνεσθαι ἀνδρὶ παρὰ τὸν τῆς φύσεως νόμον καὶ
»παρὰ τὸ δίκαιον πόρους ἡδονῆς ἐκ παντὸς πειρωμένῳ ποιεῖσθαι,
»τῆς συζυγίας χωρισθῆναι ἐβουλήθη. καὶ ἐπειδὴ ἐξεδυσωπεῖτο ὑπὸ τῶν 4
»αὐτῆς, ἔτι προσμένειν συμβουλευόντων ὡς εἰς ἐλπίδα μεταβολῆς
»ἥξοντός ποτε τοῦ ἀνδρός, βιαζομένη ἑαυτὴν ἐπέμενεν· ἐπειδὴ δὲ ὁ 5
»ταύτης ἀνὴρ εἰς τὴν Ἀλεξάνδρειαν πορευθείς, χαλεπώτερα πράττειν
»ἀπηγγέλθη, ὅπως μὴ κοινωνὸς τῶν ἀδικημάτων καὶ ἀσεβημάτων
»γένηται μένουσα ἐν τῇ συζυγίᾳ καὶ ὁμοδίαιτος καὶ ὁμόκοιτος γινο-
»μένη, τὸ λεγόμενον παρ᾽ ὑμῖν ῥεπούδιον δοῦσα ἐχωρίσθη. ὁ δὲ καλὸς 6
»κἀγαθὸς ταύτης ἀνήρ, δέον αὐτὸν χαίρειν ὅτι ἃ πάλαι μετὰ τῶν
»ὑπηρετῶν καὶ τῶν μισθοφόρων εὐχερῶς ἔπραττεν μέθαις χαίρουσα
»καὶ κακίᾳ πάσῃ, τούτων μὲν τῶν πράξεων πέπαυτο καὶ αὐτὸν τὰ
»αὐτὰ παύσασθαι πράττοντα ἐβούλετο, μὴ βουλομένου ἀπαλλαγείσης,
»κατηγορίαν πεποίηται, λέγων αὐτὴν Χριστιανὴν εἶναι. καὶ ἡ μὲν 7
»βιβλίδιόν σοι τῷ αὐτοκράτορι ἀνέδωκεν, πρότερον συγχωρηθῆναι
»αὐτῇ διοικήσασθαι τὰ ἑαυτῆς ἀξιοῦσα, ἔπειτα ἀπολογήσασθαι περὶ
»τοῦ κατηγορήματος μετὰ τὴν τῶν πραγμάτων αὐτῆς διοίκησιν, καὶ
»συνεχώρησας τοῦτο· ὁ δὲ ταύτης ποτὲ ἀνὴρ πρὸς ἐκείνην μὲν μὴ 8
»δυνάμενος τὰ νῦν ἔτι λέγειν, πρὸς Πτολεμαῖόν τινα, ὃν Οὐρβίκιος
»ἐκολάσατο, διδάσκαλον ἐκείνης τῶν Χριστιανῶν μαθημάτων γενό-
»μενον, ἐτράπετο διὰ τοῦδε τοῦ τρόπου. ἑκατόνταρχον εἰς δεσμὰ 9
»ἐμβαλόντα τὸν Πτολεμαῖον, φίλον αὐτῷ ὑπάρχοντα, ἔπεισε λαβέσθαι
»τοῦ Πτολεμαίου καὶ ἀνερωτῆσαι εἰ, αὐτὸ τοῦτο μόνον, Χριστιανός

**358, 20**—S. 362, 24 Iustin. apol. 2, 2

A [bis 2 ἀλλοτρίαν διὰ], a [von 3 τῶν πράξεων an], TERBDMΣΛ

**21**—S. 362, 15 ἐσωφρονίσθη — ἐλεγχόμενον > Iust HS

**11** γένηται BM γίνηται aTERD | **14** ἔπραττεν aT¹BDMΣ ἔπραττεν κυλιομένη ἡ γυνὴ TcmTrmER | **15** καὶ αὐτὸν ⟨δὲ⟩ Iustin | **16** μὴ βουλομένου aTERMΛ > BDΣ | **20** διοίκησιν T¹BDMΣ διοίκησιν ὑπέσχετο a διοίκησιν ὑποσχομένη TcER | **21** μὲν unrichtig | **22/23** ὃν — ἐκολάσατο ΠΣ > Λ, voreusebianische Interpolation vgl. Buecheler, Rh. Mus. 35, 285 | **22** Οὐρβίκιος] vgl. zu 362, 18 | **24/25** εἰς — Πτολεμαῖον ΠΣ > Λ, voreusebianische Interpolation

362 »ἐστιν. καὶ τὸν Πτολεμαῖον, φιλαλήθη ἀλλ' οὐκ ἀπατηλὸν οὐδὲ
»ψευδολόγον τὴν γνώμην ὄντα, ὁμολογήσαντα ἑαυτὸν εἶναι Χριστι-
»ανόν, ἐν δεσμοῖς γενέσθαι ὁ ἑκατόνταρχος πεποίηκεν, καὶ ἐπὶ πολὺν
»χρόνον ἐν τῷ δεσμωτηρίῳ ἐκολάσατο· τελευταῖον δὲ ὅτε ἐπὶ Οὐρ- 10
»βίκιον ἤχθη ὁ ἄνθρωπος, ὁμοίως αὐτὸ τοῦτο μόνον ἐξητάσθη, εἰ
»εἴη Χριστιανός· καὶ πάλιν, τὰ καλὰ ἑαυτῷ συνεπιστάμενος διὰ τὴν
»ἀπὸ τοῦ Χριστοῦ διδαχήν, τὸ διδασκαλεῖον τῆς θείας ἀρετῆς ὡμο-
»λόγησεν. ὁ γὰρ ἀρνούμενος ὁτιοῦν ἢ κατεγνωκὼς τοῦ πράγματος 11
»ἔξαρνος γίνεται ἢ ἑαυτὸν ἀνάξιον ἐπιστάμενος καὶ ἀλλότριον τοῦ
»πράγματος τὴν ὁμολογίαν φεύγει· ὧν οὐδὲν πρόσεστιν τῷ ἀληθινῷ
»Χριστιανῷ. καὶ τοῦ Οὐρβικίου κελεύσαντος αὐτὸν ἀπαχθῆναι, Λού- 12
»κιός τις, καὶ αὐτὸς ὢν Χριστιανός, ὁρῶν τὴν ἀλόγως οὕτως γενο-
»μένην κρίσιν, πρὸς τὸν Οὐρβίκιον ἔφη »τίς ἡ αἰτία τοῦ μήτε μοιχὸν
»μήτε πόρνον μήτε ἀνδροφόνον μήτε λωποδύτην μήτε ἅρπαγα μήτε
»ἁπλῶς ἀδίκημά τι πράξαντα ἐλεγχόμενον, ὀνόματος δὲ Χριστιανοῦ
»προσωνυμίαν ὁμολογοῦντα, τὸν ἄνθρωπον τοῦτον ἐκολάσω; οὐ
»πρέποντα Εὐσεβεῖ αὐτοκράτορι οὐδὲ φιλοσόφῳ Καίσαρος παιδὶ
»οὐδὲ ἱερᾷ συγκλήτῳ κρίνεις, ὦ Οὐρβίκιε«. καὶ ὅς, οὐδὲν ἄλλο ἀπο- 13
»κρινάμενος, καὶ πρὸς τὸν Λούκιον ἔφη »δοκεῖς μοι καὶ σὺ εἶναι
»τοιοῦτος«, καὶ τοῦ Λουκίου φήσαντος »μάλιστα«, πάλιν καὶ αὐτὸν
»ἀπαχθῆναι ἐκέλευσεν· ὃ δὲ χάριν εἰδέναι ὡμολόγει· πονηρῶν γὰρ
»δεσποτῶν τῶν τοιούτων ἀπηλλάχθαι ἐπεῖπεν καὶ παρὰ ἀγαθὸν
»πατέρα καὶ βασιλέα τὸν θεὸν πορεύεσθαι. καὶ ἄλλος δὲ τρίτος
»ἐπελθὼν κολασθῆναι προσετιμήθη«.

τούτοις ὁ Ἰουστῖνος εἰκότως καὶ ἀκολούθως ἃς προεμνημονεύ-
364 σαμεν αὐτοῦ φωνὰς ἐπάγει λέγων »κἀγὼ οὖν προσδοκῶ ὑπό τινος
»τῶν ὠνομασμένων ἐπιβουλευθῆναι« καὶ τὰ λοιπά.

Πλεῖστα δὲ οὗτος καταλέλοιπεν ἡμῖν πεπαιδευμένης διανοίας καὶ ΙΗ 18 1
περὶ τὰ θεῖα ἐσπουδακυίας ὑπομνήματα, πάσης ὠφελείας ἔμπλεα·
ἐφ' ἃ τοὺς φιλομαθεῖς ἀναπέμψομεν, τὰ εἰς ἡμετέραν γνῶσιν ἐλ-

**25**/S. 364, 1 356, 3

a [bis 10 *φεύγει· ὧν*], A [von 10 *οὐδὲν πρόσεστιν* an], TERBDMΣΛ

**8** *ὅτι οὖν ἢ* TᶜERBDM *ὅτι οὐκ εἴη* a *quod est* Λ *ὅτι ου///η* T¹ *ἢ* bezeugt Σ | **13** *ἡ* ATᶜERMΣ > T¹BD | **17** *φιλοσόφω* ΠΣΛ *φιλοσόφου* Iust HS *φιλοσόφωι* ⟨*Καίσαρι οὐδὲ φιλοσόφου*⟩ ergänzt Valois, für Iustin richtig | **18** *οὐρβίκιε* ΠΣΛ *Οὔρβικε* Iustin [*Q. Lollius Urbicus* Prosop. imp. Rom. 2, 297] | **19** *καὶ—Λούκιον* interpolirt | **22** *τῶν τοιούτων* ATER Iust *τοιούτων* BDM > ΣΛ | *ἐπεῖπεν* Π *γινώσκων* [*γὰρ* >] Iust HS beides interpolirt

364 *θόντα χρησίμως παρασημηνάμενοι. ὁ μέν τίς ἐστιν αὐτῷ λόγος* 2
*πρὸς Ἀντωνῖνον τὸν Εὐσεβῆ προσαγορευθέντα καὶ τοὺς τούτου*
*παῖδας τήν τε Ῥωμαίων σύγκλητον προσφωνητικὸς ὑπὲρ τῶν καθ᾽*
*ἡμᾶς δογμάτων, ὁ δὲ δευτέραν περιέχων ὑπὲρ τῆς ἡμετέρας πίστεως*
*ἀπολογίαν, ἣν πεποίηται πρὸς τὸν τοῦ δεδηλωμένου αὐτοκράτορος*
*διάδοχόν τε καὶ ὁμώνυμον Ἀντωνῖνον Οὐῆρον, οὗ τὰ κατὰ τοὺς*
*χρόνους ἐπὶ τοῦ παρόντος διέξιμεν· καὶ ἄλλος ὁ πρὸς Ἕλληνας, ἐν* 3
*ᾧ μακρὸν περὶ πλείστων παρ᾽ ἡμῖν τε καὶ τοῖς Ἑλλήνων φιλοσόφοις*
*ζητουμένων κατατείνας λόγον, περὶ τῆς τῶν δαιμόνων διαλαμβάνει*
*φύσεως· ἃ οὐδὲν ἂν ἐπείγοι τὰ νῦν παρατίθεσθαι. καὶ αὖθις* 4
*ἕτερον πρὸς Ἕλληνας εἰς ἡμᾶς ἐλήλυθεν αὐτοῦ σύγγραμμα, ὃ καὶ*
*ἐπέγραψεν Ἔλεγχον, καὶ παρὰ τούτους ἄλλο περὶ θεοῦ μοναρχίας,*
*ἣν οὐ μόνον ἐκ τῶν παρ᾽ ἡμῖν γραφῶν, ἀλλὰ καὶ τῶν Ἑλληνικῶν*
*συνίστησιν βιβλίων· ἐπὶ τούτοις ἐπιγεγραμμένον Ψάλτης, καὶ ἄλλο* 5
*σχολικὸν περὶ ψυχῆς, ἐν ᾧ διαφόρους πεύσεις προτείνας περὶ τοῦ*
*κατὰ τὴν ὑπόθεσιν προβλήματος, τῶν παρ᾽ Ἕλλησιν φιλοσόφων*
*παρατίθεται τὰς δόξας, αἷς καὶ ἀντιλέξειν ὑπισχνεῖται τήν τε αὐτὸς*
*αὐτοῦ δόξαν ἐν ἑτέρῳ παραθήσεσθαι συγγράμματι. καὶ διάλογον* 6
*δὲ πρὸς Ἰουδαίους συνέταξεν, ὃν ἐπὶ τῆς Ἐφεσίων πόλεως πρὸς*
*Τρύφωνα τῶν τότε Ἑβραίων ἐπισημότατον πεποίηται· ἐν ᾧ τίνα*
*τρόπον ἡ θεία χάρις αὐτὸν ἐπὶ τὸν τῆς πίστεως παρώρμησε λόγον,*
*δηλοῖ ὁποίαν τε πρότερον περὶ τὰ φιλόσοφα μαθήματα σπουδὴν*
*εἰσενήνεκται καὶ ὅσην ἐποιήσατο τῆς ἀληθείας ἐκθυμοτάτην ζή-*
*τησιν. ἱστορεῖ δ᾽ ἐν ταὐτῷ περὶ Ἰουδαίων ὡς κατὰ τῆς τοῦ* 7
366 *Χριστοῦ διδασκαλίας ἐπιβουλὴν συσκευασαμένων, αὐτὰ ταῦτα πρὸς*
*τὸν Τρύφωνα ἀποτεινόμενος·*

*›οὐ μόνον δὲ οὐ μετενοήσατε ἐφ᾽ οἷς ἐπράξατε κακῶς, ἀλλὰ ἄν-›δρας ἐκλεκτοὺς ἐκλεξάμενοι τότε ἀπὸ Ἱερουσαλὴμ ἐξεπέμψατε εἰς ›πᾶσαν τὴν γῆν, λέγοντες αἵρεσιν ἄθεον Χριστιανῶν πεφάνθαι κατα-›λέγοντές τε ταῦτα ἅπερ καθ᾽ ἡμῶν οἱ ἀγνοοῦντες ἡμᾶς πάντες λέ-*

**25—29** Iustin. dial. 2—8
**3—8** Iustin. dial. 17

ATERBDMΣΛ

**10** *δηλουμένου* BD | **14** *κατατείνασ* BDMΛ *κατά τινασ* ATER | *λόγον* A durch Rasur corr., $T^r$BDMΛ *λόγων* $A^1$ER, $T^1T^c$ unleserlich | **18** *καὶ* TERBD *καὶ ἐκ* AM | **26** *παρώρμησε* TER *παρώρμησεν* A *παρώρμηται* BDM

**5** *πᾶσαν* BDM Iust *ἅπασαν* ATER | *λέγοντεσ Π* Iust *λέγοντας ΣΛ* | **5/6** *καταλέγοντεσ Π* Iust *καταλέγοντας ΣΛ* | **6** *καθ᾽ ἡμᾶς Σ* | *πάντεσ* ATER Iust *ἅπαντεσ* BDM

366 »γουσιν, ὥστε οὐ μόνον ἑαυτοῖς ἀδικίας αἴτιοι ὑπάρχετε, ἀλλὰ καὶ »τοῖς ἄλλοις ἅπασιν ἁπλῶς ἀνθρώποις«.

γράφει δὲ καὶ ὡς ὅτι μέχρι καὶ αὐτοῦ χαρίσματα προφητικὰ 8
διέλαμπεν ἐπὶ τῆς ἐκκλησίας, μέμνηταί τε τῆς Ἰωάννου Ἀποκαλύψεως, σαφῶς τοῦ ἀποστόλου αὐτὴν εἶναι λέγων· καὶ ῥητῶν δέ τινων προφητικῶν μνημονεύει, διελέγχων τὸν Τρύφωνα ὡς δὴ περικοψάντων αὐτὰ Ἰουδαίων ἀπὸ τῆς γραφῆς. πλεῖστα δὲ καὶ ἕτερα παρὰ πολλοῖς φέρεται ἀδελφοῖς τῶν αὐτοῦ πόνων, οὑτωσὶ δὲ σπουδῆς 9
εἶναι ἄξιοι καὶ τοῖς παλαιοῖς ἐδόκουν οἱ τἀνδρὸς λόγοι, ὡς τὸν Εἰρηναῖον ἀπομνημονεύειν αὐτοῦ φωνάς, τοῦτο μὲν ἐν τῷ τετάρτῳ πρὸς τὰς αἱρέσεις αὐτὰ δὴ ταῦτα ἐπιλέγοντα

»καὶ καλῶς ὁ Ἰουστῖνος ἐν τῷ πρὸς Μαρκίωνα συντάγματί φησιν »ὅτι αὐτῷ τῷ κυρίῳ οὐκ ἂν ἐπείσθην ἄλλον θεὸν καταγγέλλοντι »παρὰ τὸν δημιουργόν«,

τοῦτο δὲ ἐν τῷ πέμπτῳ τῆς αὐτῆς ὑποθέσεως διὰ τούτων

»καὶ καλῶς ὁ Ἰουστῖνος ἔφη ὅτι πρὸ μὲν τῆς τοῦ κυρίου παρ»ουσίας οὐδέποτε ἐτόλμησεν ὁ σατανᾶς βλασφημῆσαι τὸν θεόν, ἅτε »μηδέπω εἰδὼς αὐτοῦ τὴν κατάκρισιν«.

368 καὶ ταῦτα δὲ ἀναγκαίως εἰρήσθω εἰς προτροπὴν τοῦ μετὰ σπου- 10
δῆς τοὺς φιλομαθεῖς καὶ τοὺς τούτου περιέπειν λόγους. καὶ τὰ μὲν κατὰ τόνδε τοιαῦτα ἦν·

ἤδη δὲ εἰς ὄγδοον ἐλαυνούσης ἔτος τῆς δηλουμένης ἡγεμονίας, ΙΘ 19
τῆς Ῥωμαίων ἐκκλησίας τὴν ἐπισκοπὴν Ἀνίκητον ἕνδεκα τοῖς πᾶσιν ἔτεσιν διελθόντα Σωτὴρ διαδέχεται, ἀλλὰ καὶ τῆς Ἀλεξανδρέων παροικίας Κελαδίωνος τέτταρσιν ἐπὶ δέκα ἔτεσιν προστάντος, τὴν διαδοχὴν Ἀγριππῖνος διαλαμβάνει, καὶ ἐπὶ τῆς Ἀντιοχέων δὲ ἐκκλη- Κ 20
σίας Θεόφιλος ἕκτος ἀπὸ τῶν ἀποστόλων ἐγνωρίζετο, τετάρτου μὲν τῶν ἐκεῖσε μετὰ Ἥρωνα καταστάντος Κορνηλίου, μετὰ δὲ αὐτὸν πέμπτῳ βαθμῷ τὴν ἐπισκοπὴν Ἔρωτος διαδεξαμένου.

**9/10** Iustin. dial. 82 — **10/11** Iustin. dial. 81 — **11—13** Iustin. dial. 71—73 — **18—20** Iren. 4, 6, 2 — **22—24** Iren. 5, 26, 2

ATERBDMΣΛ

**12** δὴ BDM ἂν ATER

**8** καὶ BDMΣ τηνικαῦτα καὶ ATER *uero .. per idem tempus* Λ | δὲ BD > ATERM

368 *Ἤκμαζον δ᾽ ἐν τούτοις ἐπὶ τῆς ἐκκλησίας Ἡγήσιππός τε, ὃν ἴσμεν ἐκ τῶν προτέρων, καὶ Διονύσιος Κορινθίων ἐπίσκοπος Πινυτός τε ἄλλος τῶν ἐπὶ Κρήτης ἐπίσκοπος Φίλιππός τε ἐπὶ τούτοις καὶ Ἀπολινάριος καὶ Μελίτων Μουσανός τε καὶ Μόδεστος καὶ ἐπὶ πᾶσιν Εἰρηναῖος, ὧν καὶ εἰς ἡμᾶς τῆς ἀποστολικῆς παραδόσεως ἡ τῆς ὑγιοῦς πίστεως ἔγγραφος κατῆλθεν ὀρθοδοξία.* ΚΑ 21

*Ὁ μὲν οὖν Ἡγήσιππος ἐν πέντε τοῖς εἰς ἡμᾶς ἐλθοῦσιν ὑπομνήμασιν τῆς ἰδίας γνώμης πληρεστάτην μνήμην καταλέλοιπεν· ἐν οἷς δηλοῖ ὡς πλείστοις ἐπισκόποις συμμίξειεν ἀποδημίαν στειλάμενος μέχρι Ῥώμης, καὶ ὡς ὅτι τὴν αὐτὴν παρὰ πάντων παρείληφεν διδασκαλίαν. ἀκοῦσαί γέ τοι πάρεστιν μετά τινα περὶ τῆς Κλήμεντος πρὸς Κορινθίους ἐπιστολῆς αὐτῷ εἰρημένα ἐπιλέγοντος ταῦτα* ΚΒ 22 1

*›καὶ ἐπέμενεν ἡ ἐκκλησία ἡ Κορινθίων ἐν τῷ ὀρθῷ λόγῳ μέχρι* 2
*›Πρίμου ἐπισκοπεύοντος ἐν Κορίνθῳ· οἷς συνέμιξα πλέων εἰς Ῥώμην*
370 *›καὶ συνδιέτριψα τοῖς Κορινθίοις ἡμέρας ἱκανάς, ἐν αἷς συνανεπάη-*
*›μεν τῷ ὀρθῷ λόγῳ· γενόμενος δὲ ἐν Ῥώμῃ, διαδοχὴν ἐποιησάμην* 3
*›μέχρις Ἀνικήτου· οὗ διάκονος ἦν Ἐλεύθερος, καὶ παρὰ Ἀνικήτου*
*›διαδέχεται Σωτήρ, μεθ᾽ ὃν Ἐλεύθερος. ἐν ἑκάστῃ δὲ διαδοχῇ καὶ*
*›ἐν ἑκάστῃ πόλει οὕτως ἔχει ὡς ὁ νόμος κηρύσσει καὶ οἱ προφῆται*
*›καὶ ὁ κύριος‹.*

*ὁ δ᾽ αὐτὸς καὶ τῶν κατ᾽ αὐτὸν αἱρέσεων τὰς ἀρχὰς ὑποτίθεται διὰ τούτων* 4

*›καὶ μετὰ τὸ μαρτυρῆσαι Ἰάκωβον τὸν δίκαιον, ὡς καὶ ὁ κύριος,*
*›ἐπὶ τῷ αὐτῷ λόγῳ, πάλιν ὁ ἐκ θείου αὐτοῦ Συμεὼν ὁ τοῦ Κλωπᾶ*

**22—24** vgl. 230, 5—7 — **25**—S. 370, 6 Zahn, Forsch. 6, 243
**2/3** vgl. 324, 8—10 — **9**—S. 372, 6 Zahn, Forsch. 6, 235 — **10—12** vgl. 226, 20 ff.

ATERBDMΣΛ

**22** *μετά* BDMΣ *μεγάλα* ATER | **26** *οἷσ* ATERBΣ *ῷ* auf Rasur $D^{1}$, MΛ
**1** *τοῖς Κορινθίοις* altes Glossem | **1/2** *συνανεπάημεν* $A^{1}T^{1}$BDM *συνανεπαύθημεν* $T^{c}$ER *συνανεσπάρημεν* $A^{r}$ | **2** *διαδοχὴν ἐποιησάμην* ΠΣ *permansi inibi* Λ nach Conjectur, *ἐποιησάμην* alte Schlimmbesserung, um eine Lücke zu füllen | **3** *οὗ—Ἀνικήτου* > ΣΛ | **9/10** *ὡς—λόγωι*] *wie wir auch gesagt haben* [אמרן für מרן] Σ

370 »καθίσταται ἐπίσκοπος, ὃν προέθεντο πάντες, ὄντα ἀνεψιὸν τοῦ
»κυρίου δεύτερον. διὰ τοῦτο ἐκάλουν τὴν ἐκκλησίαν παρθένον, οὔπω
»γὰρ ἔφθαρτο ἀκοαῖς ματαίαις· ἄρχεται δὲ ὁ Θεβουθις διὰ τὸ μὴ 5
»γενέσθαι αὐτὸν ἐπίσκοπον ὑποφθείρειν ἀπὸ τῶν ἑπτὰ αἱρέσεων,
»ὧν καὶ αὐτὸς ἦν, ἐν τῷ λαῷ, ἀφ᾽ ὧν Σίμων, ὅθεν Σιμωνιανοί,
»καὶ Κλεόβιος, ὅθεν Κλεοβιηνοί, καὶ Δοσίθεος, ὅθεν Δοσιθιανοί,
»καὶ Γορθαῖος, ὅθεν Γοραθηνοί, καὶ Μασβωθεοι. ἀπὸ τούτων
372 »Μενανδριανισταὶ καὶ Μαρκιανισταὶ καὶ Καρποκρατιανοὶ καὶ Οὐαλεν-
»τινιανοὶ καὶ Βασιλειδιανοὶ καὶ Σατορνιλιανοὶ ἕκαστος ἰδίως καὶ
»ἑτεροίως ἰδίαν δόξαν παρεισηγάγοσαν, ἀπὸ τούτων ψευδόχριστοι, 6
»ψευδοπροφῆται, ψευδαπόστολοι, οἵτινες ἐμέρισαν τὴν ἕνωσιν τῆς
»ἐκκλησίας φθοριμαίοις λόγοις κατὰ τοῦ θεοῦ καὶ κατὰ τοῦ Χριστοῦ
»αὐτοῦ«.

ἔτι δ᾽ ὁ αὐτὸς καὶ τὰς πάλαι γεγενημένας παρὰ Ἰουδαίοις αἱρέσεις ἱστορεῖ λέγων 7

»ἦσαν δὲ γνῶμαι διάφοροι ἐν τῇ περιτομῇ ἐν υἱοῖς Ἰσραηλιτῶν »κατὰ τῆς φυλῆς Ἰούδα καὶ τοῦ Χριστοῦ αὗται· Ἐσσαῖοι Γαλιλαῖοι »Ἡμεροβαπτισταὶ Μασβωθεοι Σαμαρεῖται Σαδδουκαῖοι Φαρισαῖοι«.

καὶ ἕτερα δὲ πλεῖστα γράφει, ὧν ἐκ μέρους ἤδη πρότερον ἐμνη- 8
μονεύσαμεν, οἰκείως τοῖς καιροῖς τὰς ἱστορίας παραθέμενοι, ἔκ τε τοῦ

**9—11** Zahn, Forsch. 6, 228

ATERBDMΣΔ

**12** *δεύτερον II*, auf *ἐπίσκοπος* bezogen Σ > Δ; unrichtig | **13** *δὲ* $T^cT^r$ERD *δ᾽* B *aber* Σ *sed* Δ *γὰρ* A$T^1$ > M | *θεβουθὶσ* B *θεβουθῆσ* D *θέβουθισ* A *θαιβουθὶσ* TER *θεοβουθῆσ* M *theobutes* und *thobutes* Δ HSS תאבותיס Σ | **15** *ὧν* $T^c$ERBDM *ὧν* A$T^r$Σ > $T^1$ *qui erat ex septem haeresibus in populo constitutus* Δ | *ὅθεν* BD *ὅθεν οἱ* ATERM | **17** *μασβώθεοι* [ε in ras. $A^1$] *ὅθεν* A מסתבריא mit Pluralpunkten Σ *et Masbutheus, unde Masbutheni* Δ *καὶ Μασβώθεοι* scheint eine alte Interpolation zu sein

**1** *μενανδριανισταὶ* TERBDM *ἀδριανισταὶ* A [vgl. Theodoret. haer. fab. 1, 1] | *μαρκιανισταὶ* A$T^1$M *μαρκιωνισταὶ* $T^c$ERBΔ מרקיונו Σ | **3** *ἑτεροίωσ* TERDM *ἕτεροι ὡσ* BΣ *ἑτέρωσ* A | *παρεισηγάγοσαν* A *παρεισήγαγον* $B^1$M *παρήγαγον* D *παρεισήγαγεν* TER$B^c$ | **9** *Ἰσραηλιτῶν* Valois *ἰσραὴλ ἢ τῶν* A$T^1$M *ἰσραὴλ τῶν* T durch Rasur corr., ERBDΣΔ | **10** *αὗται ΠΣ* > Δ nach Conjectur, Heg. schrieb *αὐτῆς*

372 καθ' Ἑβραίους εὐαγγελίου καὶ τοῦ Συριακοῦ καὶ ἰδίως ἐκ τῆς
Ἑβραΐδος διαλέκτου τινὰ τίθησιν, ἐμφαίνων ἐξ Ἑβραίων ἑαυτὸν πεπι-
στευκέναι, καὶ ἄλλα δὲ ὡς ἐξ Ἰουδαϊκῆς ἀγράφου παραδόσεως μνημο-
νεύει. οὐ μόνος δὲ οὗτος, καὶ Εἰρηναῖος δὲ καὶ ὁ πᾶς τῶν ἀρχαίων 9
χορὸς πανάρετον Σοφίαν τὰς Σολομῶνος Παροιμίας ἐκάλουν. καὶ
περὶ τῶν λεγομένων δὲ ἀποκρύφων διαλαμβάνων, ἐπὶ τῶν αὐτοῦ χρό-
νων πρός τινων αἱρετικῶν ἀναπεπλάσθαι τινὰ τούτων ἱστορεῖ. ἀλλὰ
γὰρ ἐφ' ἕτερον ἤδη μεταβατέον,

374 καὶ πρῶτόν γε περὶ Διονυσίου φατέον ὅτι τε τῆς ἐν Κορίνθῳ ΚΓ 23 1
παροικίας τὸν τῆς ἐπισκοπῆς ἐγκεχείριστο θρόνον, καὶ ὡς τῆς ἐνθέου
φιλοπονίας οὐ μόνοις τοῖς ὑπ' αὐτόν, ἀλλ' ἤδη καὶ τοῖς ἐπὶ τῆς
ἀλλοδαπῆς ἀφθόνως ἐκοινώνει, χρησιμώτατον ἅπασιν ἑαυτὸν καθι-
στὰς ἐν αἷς ὑπετυποῦτο καθολικαῖς πρὸς τὰς ἐκκλησίας ἐπιστολαῖς·
ὧν ἐστιν ἡ μὲν πρὸς Λακεδαιμονίους ὀρθοδοξίας κατηχητικὴ εἰρήνης 2
τε καὶ ἑνώσεως ὑποθετική, ἡ δὲ πρὸς Ἀθηναίους διεγερτικὴ πίστεως
καὶ τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας, ἧς ὀλιγωρήσαντας ἐλέγχει ὡς
ἂν μικροῦ δεῖν ἀποστάντας τοῦ λόγου ἐξ οὗπερ τὸν προεστῶτα αὐ-
τῶν Πούπλιον μαρτυρῆσαι κατὰ τοὺς τότε συνέβη διωγμούς. Κο- 3
δράτου δὲ μετὰ τὸν μαρτυρήσαντα Πούπλιον καταστάντος αὐτῶν
ἐπισκόπου μέμνηται, ἐπιμαρτυρῶν ὡς διὰ τῆς αὐτοῦ σπουδῆς ἐπι-
συναχθέντων καὶ τῆς πίστεως ἀναζωπύρησιν εἰληχότων· δηλοῖ δ' ἐπὶ
τούτοις ὡς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης ὑπὸ τοῦ ἀποστόλου Παύλου
προτραπεὶς ἐπὶ τὴν πίστιν κατὰ τὰ ἐν ταῖς Πράξεσιν δεδηλωμένα,
πρῶτος τῆς Ἀθήνησι παροικίας τὴν ἐπισκοπὴν ἐγκεχείριστο. ἄλλη 4
δ' ἐπιστολή τις αὐτοῦ πρὸς Νικομηδέας φέρεται, ἐν ᾗ τὴν Μαρκίω-
νος αἵρεσιν πολεμῶν τῷ τῆς ἀληθείας παρίσταται κανόνι. καὶ τῇ 5
ἐκκλησίᾳ δὲ τῇ παροικούσῃ Γόρτυναν ἅμα ταῖς λοιπαῖς κατὰ Κρήτην
παροικίαις ἐπιστείλας, Φίλιππον ἐπίσκοπον αὐτῶν ἀποδέχεται ἅτε
δὴ ἐπὶ πλείσταις μαρτυρουμένης ἀνδραγαθίαις τῆς ὑπ' αὐτὸν ἐκ-
κλησίας, τήν τε τῶν αἱρετικῶν διαστροφὴν ὑπομιμνήσκει φυλάττε-

**17/18** Iren. 4, 20, 3
**14/15** Act. 17, 34

ATERBDMΣΛ

**16** *ὡσ* BDM *ὡσ ἂν* ATER | **17** *καὶ εἰρηναῖοσ δὲ* $T^1$BDM *ἀλλὰ καὶ εἰρηναῖοσ* A$T^c$ER | **19** *ἀποκαλύψεων* Σ | **20/21** *ἀλλὰ — μεταβατέον* > Σ
**5** *καθολικαῖς* > ΣΛ | **12** *ὡσ* ARBD *ὡσ ἂν* TEM | **16** *ἀθήνησι* ERM *γρ ἀθήνησι* Tcm *ἐν ἀθήναισ* A$T^1$ *ἀθηναίων* BD | **21** *μαρτυρουμένης* nach *ἀνδραγαθίαις* gestellt A, nach *ἅτε δὴ* $T^r$, *μαρτυρούμενον* $D^1$ [*ον* ausradirt], Λ > $T^1$ | **21/22** *τῆς — ἐκκλησίας* > Λ

374 σθαι. καὶ τῇ ἐκκλησίᾳ δὲ τῇ παροικούσῃ Ἄμαστριν ἅμα ταῖς κατὰ 6
Πόντον ἐπιστείλας, Βακχυλίδου μὲν καὶ Ἐλπίστου ὡς ἂν αὐτὸν ἐπὶ
τὸ γράψαι προτρεψάντων μέμνηται, γραφῶν τε θείων ἐξηγήσεις πα-
ρατέθειται, ἐπίσκοπον αὐτῶν ὀνόματι Πάλμαν ὑποσημαίνων· πολλὰ
δὲ περὶ γάμου καὶ ἁγνείας τοῖς αὐτοῖς παραινεῖ, καὶ τοὺς ἐξ οἵας
376 δ᾽ οὖν ἀποπτώσεως, εἴτε πλημμελείας εἴτε μὴν αἱρετικῆς πλάνης, ἐπι-
στρέφοντας δεξιοῦσθαι προστάττει. ταύταις ἄλλη ἐγκατείλεκται 7
πρὸς Κνωσίους ἐπιστολή, ἐν ᾗ Πινυτὸν τῆς παροικίας ἐπίσκοπον
παρακαλεῖ μὴ βαρὺ φορτίον ἐπάναγκες τὸ περὶ ἁγνείας τοῖς ἀδελφοῖς
ἐπιτιθέναι, τῆς δὲ τῶν πολλῶν καταστοχάζεσθαι ἀσθενείας· πρὸς 8
ἣν ὁ Πινυτὸς ἀντιγράφων, θαυμάζει μὲν καὶ ἀποδέχεται τὸν Διονύ-
σιον, ἀντιπαρακαλεῖ δὲ στερροτέρας ἤδη ποτὲ μεταδιδόναι τροφῆς,
τελειοτέροις γράμμασιν εἰς αὖθις τὸν παρ᾽ αὐτῷ λαὸν ὑποθρέψαντα,
ὡς μὴ διὰ τέλους τοῖς γαλακτώδεσιν ἐνδιατρίβοντες λόγοις τῇ νη-
πιώδει ἀγωγῇ λάθοιεν καταγηράσαντες· δι᾽ ἧς ἐπιστολῆς καὶ ἡ τοῦ
Πινυτοῦ περὶ τὴν πίστιν ὀρθοδοξία τε καὶ φροντὶς τῆς τῶν ὑπη-
κόων ὠφελείας τό τε λόγιον καὶ ἡ περὶ τὰ θεῖα σύνεσις ὡς δι᾽
ἀκριβεστάτης ἀναδείκνυται εἰκόνος. ἔτι τοῦ Διονυσίου καὶ πρὸς 9
Ῥωμαίους ἐπιστολὴ φέρεται, ἐπισκόπῳ τῷ τότε Σωτῆρι προσφω-
νοῦσα· ἐξ ἧς οὐδὲν οἷον τὸ καὶ παραθέσθαι λέξεις δι᾽ ὧν τὸ μέχρι
τοῦ καθ᾽ ἡμᾶς διωγμοῦ φυλαχθὲν Ῥωμαίων ἔθος ἀποδεχόμενος
ταῦτα γράφει

›ἐξ ἀρχῆς γὰρ ὑμῖν ἔθος ἐστὶν τοῦτο, πάντας μὲν ἀδελφοὺς ποι- 10
›κίλως εὐεργετεῖν ἐκκλησίαις τε πολλαῖς ταῖς κατὰ πᾶσαν πόλιν
›ἐφόδια πέμπειν, ὧδε μὲν τὴν τῶν δεομένων πενίαν ἀναψύχοντας,

4 vgl. Matth. 11, 30 — **7—10** vgl. I Kor. 3, 1. 2. Hebr. 5, 12—14

ATERBDMΣΔ

**24/25** *αὐτὸν — προτρεψάντων* Stephanus *αὐτῶν — προτρεψάντων αὐτὸν* TER, $D^1$ corr., M *αὐτὸν — προτρεψάντων αὐτῶν* B *αὐτῶν — προτρεψάντων αὐτῶν* $D^1$ *αὐτῶι — προτρεψάντων* A

**8** *παρ᾽* TEBDM *ὑπ᾽* ARΣ | *ὑποθρέψαντα* AERM *ὑποθρέψοντα* $T^r$BD, $T^1T^c$ unleserlich | **10** *⟨ἐν⟩καταγηράσαντες* Dionysios | **13** *ἔτι* A$T^1$DM *ἔτι τε* $T^c$ERB | **15** *οἷον τὸ* A *ο//////* $T^1$ *οἷόν τε* R *γρ οὐδὲν οἷόν τε* $T^{cm}E^m$ *οἴονται* M *ἄτοπον* $T^c$EBD | **18** zu *πάντας μὲν ἀδελφούς* fehlt das Gegenstück | **19** *πολλαῖς* und *ταῖς κατὰ πᾶσαν πόλιν* können so nicht neben einander stehen | **20** mit *ὧδε* muss ein neuer Satz anfangen, *ἀναψύχοντας* und *ἐπιχορηγοῦντας* sind durch unrichtige Congruenz verdorben

376 »ἐν μετάλλοις δὲ ἀδελφοῖς ὑπάρχουσιν ἐπιχορηγοῦντας δι' ὧν πέμπετε ἀρχῆθεν ἐφοδίων πατροπαράδοτον ἔθος Ῥωμαίων Ῥωμαῖοι φυλάττοντες, ὃ οὐ μόνον διατετήρηκεν ὁ μακάριος ὑμῶν ἐπίσκοπος
378 Σωτήρ, ἀλλὰ καὶ ηὔξηκεν, ἐπιχορηγῶν μὲν τὴν διαπεμπομένην δαψίλειαν τὴν εἰς τοὺς ἁγίους, λόγοις δὲ μακαρίοις τοὺς ἀνιόντας ἀδελφούς, ὡς τέκνα πατὴρ φιλόστοργος, παρακαλῶν«.

ἐν αὐτῇ δὲ ταύτῃ καὶ τῆς Κλήμεντος πρὸς Κορινθίους μέμνηται ἐπιστολῆς, δηλῶν ἀνέκαθεν ἐξ ἀρχαίου ἔθους ἐπὶ τῆς ἐκκλησίας τὴν ἀνάγνωσιν αὐτῆς ποιεῖσθαι· λέγει γοῦν 11

»τὴν σήμερον οὖν κυριακὴν ἁγίαν ἡμέραν διηγάγομεν, ἐν ᾗ ἀνέγνωμεν ὑμῶν τὴν ἐπιστολήν, ἣν ἕξομεν ἀεί ποτε ἀναγινώσκοντες νουθετεῖσθαι, ὡς καὶ τὴν προτέραν ἡμῖν διὰ Κλήμεντος γραφεῖσαν«.

ἔτι δ' ὁ αὐτὸς καὶ περὶ τῶν ἰδίων ἐπιστολῶν ὡς ῥᾳδιουργηθεισῶν ταῦτά φησιν 12

»ἐπιστολὰς γὰρ ἀδελφῶν ἀξιωσάντων με γράψαι ἔγραψα. καὶ ταύτας οἱ τοῦ διαβόλου ἀπόστολοι ζιζανίων γεγέμικαν, ἃ μὲν ἐξαιροῦντες, ἃ δὲ προστιθέντες· οἷς τὸ οὐαὶ κεῖται. οὐ θαυμαστὸν ἄρα εἰ καὶ τῶν κυριακῶν ῥᾳδιουργῆσαί τινες ἐπιβέβληνται γραφῶν, ὁπότε καὶ ταῖς οὐ τοιαύταις ἐπιβεβουλεύκασιν«.

καὶ ἄλλη δέ τις παρὰ ταύτας ἐπιστολὴ τοῦ Διονυσίου φέρεται Χρυσοφόρᾳ πιστοτάτῃ ἀδελφῇ ἐπιστείλαντος, ᾗ τὰ κατάλληλα γράφων, τῆς προσηκούσης καὶ αὐτῇ μετεδίδου λογικῆς τροφῆς. καὶ τὰ μὲν τοῦ Διονυσίου τοσαῦτα· 13

τοῦ δὲ Θεοφίλου, ὃν τῆς Ἀντιοχέων ἐκκλησίας ἐπίσκοπον δεδηλώκαμεν, τρία τὰ πρὸς Αὐτόλυκον στοιχειώδη φέρεται συγγράμματα, καὶ ἄλλο Πρὸς τὴν αἵρεσιν Ἑρμογένους τὴν ἐπιγραφὴν ἔχον, ἐν ᾧ ἐκ τῆς Ἀποκαλύψεως Ἰωάννου κέχρηται μαρτυρίαις· καὶ ἕτερα δέ ΚΔ 24

**13/14** Matth. 13, 25 — **14/15** Apoc. 22, 18. 19 — **22/23** 368, 8 ff.

ATERBDMΣΛ

**21/22** *δι' ὧν πέμπετε ἐφοδίων* > Λ durch Conjectur; aber die Worte sind schwerlich echt, *ἀρχῆθεν* gehört zu *πατροπαράδοτον*

**2** *μακαρίοισ* AT$^1$BDMΣΛ *μακροῖσ* ER *γρ μακροῖσ* T$^{cm}$ | **14** *γεγέμικαν* AT$^1$BD *γεγεμίκασιν* T$^c$M *γεγεμίκασι* ER | **16** *τινας* Dionysios

380 τινα κατηχητικὰ αὐτοῦ φέρεται βιβλία. τῶν γε μὴν αἱρετικῶν οὐ
χεῖρον καὶ τότε ζιζανίων δίκην λυμαινομένων τὸν εἰλικρινῆ τῆς
ἀποστολικῆς διδασκαλίας σπόρον, οἱ πανταχόσε τῶν ἐκκλησιῶν ποι-
μένες, ὥσπερ τινὰς θῆρας ἀγρίους τῶν Χριστοῦ προβάτων ἀποσο-
βοῦντες, αὐτοὺς ἀνεῖργον τοτὲ μὲν ταῖς πρὸς τοὺς ἀδελφοὺς νου-
θεσίαις καὶ παραινέσεσιν, τοτὲ δὲ πρὸς αὐτοὺς γυμνότερον ἀποδυό-
μενοι, ἀγράφοις τε εἰς πρόσωπον ζητήσεσι καὶ ἀνατροπαῖς, ἤδη δὲ
καὶ δι᾽ ἐγγράφων ὑπομνημάτων τὰς δόξας αὐτῶν ἀκριβεστάτοις
ἐλέγχοις διευθύνοντες. ὅ γέ τοι Θεόφιλος σὺν τοῖς ἄλλοις κατὰ
τούτων στρατευσάμενος δῆλός ἐστιν ἀπό τινος οὐκ ἀγεννῶς αὐτῷ
κατὰ Μαρκίωνος πεπονημένου λόγου, ὃς καὶ αὐτὸς μεθ᾽ ὧν ἄλλων
εἰρήκαμεν εἰς ἔτι νῦν διασέσωσται. τοῦτον μὲν οὖν ἕβδομος ἀπὸ
τῶν ἀποστόλων τῆς Ἀντιοχέων ἐκκλησίας διαδέχεται Μαξιμῖνος·

Φίλιππός γε μήν, ὃν ἐκ τῶν Διονυσίου φωνῶν τῆς ἐν Γορτύνῃ ΚΕ 25
παροικίας ἐπίσκοπον ἔγνωμεν, πάνυ γε σπουδαιότατον πεποίηται
καὶ αὐτὸς κατὰ Μαρκίωνος λόγον, Εἰρηναῖός τε ὡσαύτως καὶ Μό-
δεστος, ὃς καὶ διαφερόντως παρὰ τοὺς ἄλλους τὴν τοῦ ἀνδρὸς εἰς
ἔκδηλον τοῖς πᾶσιν κατεφώρασε πλάνην, καὶ ἄλλοι δὲ πλείους,
ὧν παρὰ πλείστοις τῶν ἀδελφῶν εἰς ἔτι νῦν οἱ πόνοι διαφυλάτ-
τονται.

Ἐπὶ τῶνδε καὶ Μελίτων τῆς ἐν Σάρδεσιν παροικίας ἐπίσκοπος Κϛ 26 1
Ἀπολινάριός τε τῆς ἐν Ἱεραπόλει διαπρεπῶς ἤκμαζον, οἳ καὶ τῷ
δηλωθέντι κατὰ τοὺς χρόνους Ῥωμαίων βασιλεῖ λόγους ὑπὲρ τῆς
πίστεως ἰδίως ἑκάτερος ἀπολογίας προσεφώνησαν. τούτων εἰς 2
ἡμετέραν γνῶσιν ἀφῖκται τὰ ὑποτεταγμένα· Μελίτωνος, τὰ Περὶ
τοῦ πάσχα δύο καὶ τὸ Περὶ πολιτείας καὶ προφητῶν καὶ ὁ Περὶ
382 ἐκκλησίας καὶ ὁ Περὶ κυριακῆς λόγος, ἔτι δὲ ὁ Περὶ πίστεως ἀν-
θρώπου καὶ ὁ Περὶ πλάσεως καὶ ὁ Περὶ ὑπακοῆς πίστεως αἰσθη-

**2/3** Matth. 13, 25 — **14/15** 374, 18—20
**382, 2/3** vgl. Hebr. 5, 14

ATERBDMΣΔ

**1** *φέρεται βιβλία* BD *φέρονται βιβλία* M *βιβλία φέρεται* T$^{c}$ER *extant libelli* Δ *βιβλία εἰσὶ* T$^{r}$ *βιβλία* AT$^{1}$ | **1/2** *οὐ χεῖρον* TERM *οὐδὲν χεῖρον* A > BD | **2** *ζιζανίων* AT$^{1}$MΣΔ *ζιζανίου* T$^{c}$ERBD | **5** *αὐτοὺς* TERBDM > A | **16** *τε* BDMΣ *δὲ* ATER | **26** *τὸ* TEBDΔ Hieron. de uir. ill. 24 *τὰ* ARM | *καί*$^{2}$ > Hieron

**1** *πίστεωσ* TERBDMΣΔ, Hieron [*ἀνθρώπου* >], *φύσεωσ* A | **2/3** *ὑπακοῆσ πίστεως αἰσθητηρίων* Π *über das Hören des Ohres des Glaubens* Σ *de oboedientia fidei de sensibus* Δ *de sensibus* Hieron, beide nach Conjectur

382 τηρίων καὶ πρὸς τούτοις ὁ Περὶ ψυχῆς καὶ σώματος ηνενοισ καὶ ὁ Περὶ λουτροῦ καὶ περὶ ἀληθείας καὶ περὶ πίστεως καὶ γενέσεως Χριστοῦ καὶ λόγος αὐτοῦ προφητείας καὶ περὶ ψυχῆς καὶ σώματος καὶ ὁ Περὶ φιλοξενίας καὶ ἡ Κλεὶς καὶ τὰ Περὶ τοῦ διαβόλου καὶ τῆς Ἀποκαλύψεως Ἰωάννου καὶ ὁ Περὶ ἐνσωμάτου θεοῦ, ἐπὶ πᾶσι καὶ τὸ Πρὸς Ἀντωνῖνον βιβλίδιον. ἐν μὲν οὖν τῷ Περὶ τοῦ 3
πάσχα τὸν χρόνον καθ' ὃν συνέταττεν, ἀρχόμενος σημαίνει ἐν τούτοις

»ἐπὶ Σερουιλλίου Παύλου ἀνθυπάτου τῆς Ἀσίας, ᾧ Σάγαρις »καιρῷ ἐμαρτύρησεν, ἐγένετο ζήτησις πολλὴ ἐν Λαοδικείᾳ περὶ τοῦ »πάσχα, ἐμπεσόντος κατὰ καιρὸν ἐν ἐκείναις ταῖς ἡμέραις, καὶ ἐγράφη »ταῦτα«.

τούτου δὲ τοῦ λόγου μέμνηται Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν ἰδίῳ 4
περὶ τοῦ πάσχα λόγῳ, ὃν ὡς ἐξ αἰτίας τῆς τοῦ Μελίτωνος γραφῆς
384 φησιν ἑαυτὸν συντάξαι. ἐν δὲ τῷ πρὸς τὸν αὐτοκράτορα βιβλίῳ τοιαῦτά τινα καθ' ἡμῶν ἐπ' αὐτοῦ γεγονέναι ἱστορεῖ

»τὸ γὰρ οὐδεπώποτε γενόμενον, νῦν διώκεται τὸ τῶν θεοσεβῶν 5
»γένος καινοῖς ἐλαυνόμενον δόγμασιν κατὰ τὴν Ἀσίαν. οἱ γὰρ ἀναι- »δεῖς συκοφάνται καὶ τῶν ἀλλοτρίων ἐρασταὶ τὴν ἐκ τῶν διαταγμά-

**15—17** Zahn, Forsch. 3, 32

ATERBDMΣΔ

**3** *ἦν ἐν οἷσ* BD > MΣ Hieron *ἢ νοὸσ* ATER *et mente* Δ *ηνενοισ* scheint aus *ἢ ἑνὸς*, das in *ἢ νοὸς* corrigirt werden sollte, entstanden zu sein | **4** *καὶ περὶ ἀληθείασ* BDM *καὶ ὁ περὶ ἀληθείασ* AΔ Hieron *und über die Wahrheit* Σ *καὶ ἀληθείασ* TER | *πίστεωσ* TERBDMΣΔ *γρ πίστεωσ* A[m] *κτίσεωσ* A > Hieron | **5** *λόγοσ αὐτοῦ προφητείασ* T[1]BD *λόγοσ αὐτοῦ περὶ προφητείασ* AT[c]T[r]ERM *über das Wort seiner Weissagung* Σ *de prophetia eius* Δ *de prophetia sua* Hieron | **5/6** *καὶ περὶ ψυχῆσ καὶ σώματοσ καὶ ὁ περὶ φιλοξενίασ* T[1]BD *καὶ ὁ περὶ ψυχῆσ καὶ σώματοσ καὶ ὁ περὶ φιλοξενίασ* MΣΔ *καὶ ὁ περὶ φιλοξενίασ καὶ ὁ περὶ ψυχῆσ καὶ σώματοσ* A *καὶ ὁ περὶ φιλοξενίασ* T[c]ER Hieron nach Conjectur; *περὶ λουτροῦ* usw. — *περὶ ψυχῆς καὶ σώματος* sind nicht Einzeltitel, sondern Capitelüberschriften eines einzigen Werkes, Δ Hieron paraphrasiren falsch | **6** *καὶ ἡ κλεὶς* > Σ | **8** *τῷ* TERBDΔ *τοῖσ* A > M | **11** *σερουιλλίου* ATERB *σερουΐννου* D *σερουλλίου* M סארולליס Σ *Σεργίου* Δ nach Act. 13, 7 durch Zufall richtig [*L. Sergius Paullus* Prosop. imp. Rom. 3, 221] | **11/12** *ὢσ ἄγαρισ καὶ ῥῶ* M *Ἄγαρις* las Σ

384 »των ἔχοντες ἀφορμήν, φανερῶς ληστεύουσι, νύκτωρ καὶ μεθ' ἡμέραν
»διαρπάζοντες τοὺς μηδὲν ἀδικοῦντας«.

καὶ μεθ' ἕτερά φησιν 6

»καὶ εἰ μὲν σοῦ κελεύσαντος τοῦτο πράττεται, ἔστω καλῶς γινό-
»μενον· δίκαιος γὰρ βασιλεὺς οὐκ ἂν ἀδίκως βουλεύσαιτο πώποτε,
»καὶ ἡμεῖς ἡδέως φέρομεν τοῦ τοιούτου θανάτου τὸ γέρας· ταύτην
»δέ σοι μόνην προσφέρομεν δέησιν ἵνα αὐτὸς πρότερον ἐπιγνοὺς
»τοὺς τῆς τοιαύτης φιλονεικίας ἐργάτας, δικαίως κρίνειας εἰ ἄξιοι
»θανάτου καὶ τιμωρίας ἢ σωτηρίας καὶ ἡσυχίας εἰσίν. εἰ δὲ καὶ
»παρὰ σοῦ μὴ εἴη ἡ βουλὴ αὕτη καὶ τὸ καινὸν τοῦτο διάταγμα, ὃ
»μηδὲ κατὰ βαρβάρων πρέπει πολεμίων, πολὺ μᾶλλον δεόμεθά σου
»μὴ περιδεῖν ἡμᾶς ἐν τοιαύτῃ δημώδει λεηλασίᾳ«.

τούτοις αὖθις ἐπιφέρει λέγων 7

»ἡ γὰρ καθ' ἡμᾶς φιλοσοφία πρότερον μὲν ἐν βαρβάροις ἤκ-
»μασεν, ἐπανθήσασα δὲ τοῖς σοῖς ἔθνεσιν κατὰ τὴν Αὐγούστου τοῦ
»σοῦ προγόνου μεγάλην ἀρχήν, ἐγενήθη μάλιστα τῇ σῇ βασιλείᾳ
»αἴσιον ἀγαθόν. ἔκτοτε γὰρ εἰς μέγα καὶ λαμπρὸν τὸ Ῥωμαίων ηὐ-
»ξήθη κράτος· οὗ σὺ διάδοχος εὐκταῖος γέγονάς τε καὶ ἔσῃ μετὰ τοῦ
»παιδός, φυλάσσων τῆς βασιλείας τὴν σύντροφον καὶ συναρξαμένην
»Αὐγούστῳ φιλοσοφίαν, ἣν καὶ οἱ πρόγονοί σου πρὸς ταῖς ἄλλαις
»θρησκείαις ἐτίμησαν, καὶ τοῦτο μέγιστον τεκμήριον τοῦ πρὸς ἀγαθοῦ 8
»τὸν καθ' ἡμᾶς λόγον συνακμάσαι τῇ καλῶς ἀρξαμένῃ βασιλείᾳ, ἐκ
»τοῦ μηδὲν φαῦλον ἀπὸ τῆς Αὐγούστου ἀρχῆς ἀπαντῆσαι, ἀλλὰ
386 »τοὐναντίον ἅπαντα λαμπρὰ καὶ ἔνδοξα κατὰ τὰς πάντων εὐχάς.
»μόνοι πάντων, ἀναπεισθέντες ὑπό τινων βασκάνων ἀνθρώπων, τὸν 9
»καθ' ἡμᾶς ἐν διαβολῇ καταστῆσαι λόγον ἠθέλησαν Νέρων καὶ Δομε-
»τιανός, ἀφ' ὧν καὶ τὸ τῆς συκοφαντίας ἀλόγῳ συνηθείᾳ περὶ τοὺς
»τοιούτους ῥυῆναι συμβέβηκεν ψεῦδος· ἀλλὰ τὴν ἐκείνων ἄγνοιαν οἱ 10
»σοὶ εὐσεβεῖς πατέρες ἐπηνωρθώσαντο, πολλάκις πολλοῖς ἐπιπλή-
»ξαντες ἐγγράφως, ὅσοι περὶ τούτων νεωτερίσαι ἐτόλμησαν· ἐν οἷς
»ὁ μὲν πάππος σου Ἀδριανὸς πολλοῖς μὲν καὶ ἄλλοις, καὶ Φουν-

ATERBDMΣΛ

9 τοῦτο TERBDMΣ ταῦτα AΛ | 20 ἔθεσιν Λ | 21 μεγάλην ἀρχὴν ATrRB μεγάλησ ἀρχῆσ EDM | 27/28 ἐκ τοῦ falsch, man verlangt τὸ

386 »δανῷ δὲ τῷ ἀνθυπάτῳ, ἡγουμένῳ δὲ τῆς Ἀσίας, γράφων φαίνεται, »ὁ δὲ πατήρ σου, καὶ σοῦ τὰ σύμπαντα διοικοῦντος αὐτῷ, ταῖς πό»λεσι περὶ τοῦ μηδὲν νεωτερίζειν περὶ ἡμῶν ἔγραψεν, ἐν οἷς καὶ »πρὸς Λαρισαίους καὶ πρὸς Θεσσαλονικεῖς καὶ Ἀθηναίους καὶ πρὸς »πάντας Ἕλληνας. σὲ δὲ καὶ μᾶλλον περὶ τούτων τὴν αὐτὴν ἐκεί- 11 »νοις ἔχοντα γνώμην καὶ πολύ γε φιλανθρωποτέραν καὶ φιλοσοφω»τέραν, πεπείσμεθα πάντα πράσσειν ὅσα σου δεόμεθα«.

ἀλλὰ ταῦτα μὲν ἐν τῷ δηλωθέντι τέθειται λόγῳ· ἐν δὲ ταῖς 12 γραφείσαις αὐτῷ Ἐκλογαῖς ὁ αὐτὸς κατὰ τὸ προοίμιον ἀρχόμενος τῶν ὁμολογουμένων τῆς παλαιᾶς διαθήκης γραφῶν ποιεῖται κατάλογον· ὃν καὶ ἀναγκαῖον ἐνταῦθα καταλέξαι, γράφει δὲ οὕτως

»Μελίτων Ὀνησίμῳ τῷ ἀδελφῷ χαίρειν. ἐπειδὴ πολλάκις ἠξίωσας, 13 »σπουδῇ τῇ πρὸς τὸν λόγον χρώμενος, γενέσθαι σοι ἐκλογὰς ἔκ τε »τοῦ νόμου καὶ τῶν προφητῶν περὶ τοῦ σωτῆρος καὶ πάσης τῆς »πίστεως ἡμῶν, ἔτι δὲ καὶ μαθεῖν τὴν τῶν παλαιῶν βιβλίων ἐβου»λήθης ἀκρίβειαν πόσα τὸν ἀριθμὸν καὶ ὁποῖα τὴν τάξιν εἶεν, ἐσπού»δασα τὸ τοιοῦτο πρᾶξαι, ἐπιστάμενός σου τὸ σπουδαῖον περὶ τὴν »πίστιν καὶ φιλομαθὲς περὶ τὸν λόγον ὅτι τε μάλιστα πάντων πόθῳ »τῷ πρὸς τὸν θεὸν ταῦτα προκρίνεις, περὶ τῆς αἰωνίου σωτηρίας »ἀγωνιζόμενος. ἀνελθὼν οὖν εἰς τὴν ἀνατολὴν καὶ ἕως τοῦ τόπου 14
388 »γενόμενος ἔνθα ἐκηρύχθη καὶ ἐπράχθη, καὶ ἀκριβῶς μαθὼν τὰ τῆς »παλαιᾶς διαθήκης βιβλία, ὑποτάξας ἔπεμψά σοι· ὧν ἐστι τὰ ὀνό»ματα· Μωυσέως πέντε, Γένεσις Ἔξοδος Ἀριθμοὶ Λευιτικὸν Δευτερο»νόμιον, Ἰησοῦς Ναυῆ, Κριταί, Ῥούθ, Βασιλειῶν τέσσαρα, Παραλειπο»μένων δύο, Ψαλμῶν Δαυίδ, Σολομῶνος Παροιμίαι ἣ καὶ Σοφία, »Ἐκκλησιαστής, Ἆισμα Ἀισμάτων, Ἰώβ, Προφητῶν Ἡσαΐου Ἱερεμίου »τῶν δώδεκα ἐν μονοβίβλῳ Δανιὴλ Ἰεζεκιήλ, Ἔσδρας· ἐξ ὧν καὶ τὰς »ἐκλογὰς ἐποιησάμην, εἰς ἓξ βιβλία διελών«.

ATERBDMΣΛ

**9** δὲ² > BD | **10** *πάντα* Wendland und Wil | *συνδιοικοῦντος* Valois, für Melito richtig | **15** *πράξειν* Wil | **17** *προοίμιον* BDM *προοίμιον αὐτῷ* TER *προοίμιον αὐτὸ* A | **24** *εἶεν* T^c^ERBDM *εἰδέναι* AT¹ | **26** *μάλιστα* interpolirt

**3** *ἀριθμοὶ λευιτικὸν* ATERMΣ^b^ *λευιτικὸν ἀριθμοὶ* BDΛΣ^a^Σ^arm^ | **5** *ἣ καὶ* B *ἢ καὶ* AT¹ *καὶ* D *καὶ ἡ* T^c^ERM *was Weisheit* Σ *quae et* Λ | **6** *ᾄσματα ᾀσμάτων* Λ

388 καὶ τὰ μὲν τοῦ Μελίτωνος τοσαῦτα·
τοῦ δ' Ἀπολιναρίου πολλῶν παρὰ πολλοῖς σῳζομένων τὰ εἰς KZ 27
ἡμᾶς ἐλθόντα ἐστὶν τάδε· λόγος ὁ πρὸς τὸν προειρημένον βασιλέα
καὶ Πρὸς Ἕλληνας συγγράμματα πέντε καὶ Περὶ ἀληθείας α' β' καὶ
Πρὸς Ἰουδαίους α' β' καὶ ἃ μετὰ ταῦτα συνέγραψε κατὰ τῆς τῶν
Φρυγῶν αἱρέσεως, μετ' οὐ πολὺν καινοτομηθείσης χρόνον, τότε γε
μὴν ὥσπερ ἐκφύειν ἀρχομένης, ἔτι τοῦ Μοντανοῦ ἅμα ταῖς αὐτοῦ
ψευδοπροφήτισιν ἀρχὰς τῆς παρεκτροπῆς ποιουμένου.

Καὶ Μουσανοῦ δέ, ὃν ἐν τοῖς φθάσασιν κατελέξαμεν, φέρεταί KH 28
τις ἐπιστρεπτικώτατος λόγος, πρός τινας αὐτῷ γραφεὶς ἀδελφοὺς
ἀποκλίναντας ἐπὶ τὴν τῶν λεγομένων Ἐγκρατιτῶν αἵρεσιν, ἄρτι
τότε φύειν ἀρχομένην ξένην τε καὶ φθοριμαίαν ψευδοδοξίαν εἰσά-
390 γουσαν τῷ βίῳ· ἧς παρεκτροπῆς ἀρχηγὸν καταστῆναι Τατιανὸν λόγος KΘ
ἔχει, οὗ μικρῷ πρόσθεν τὰς περὶ τοῦ θαυμασίου Ἰουστίνου παρατε- 29 1
θείμεθα λέξεις, μαθητὴν αὐτὸν ἱστοροῦντες τοῦ μάρτυρος. δηλοῖ
δὲ τοῦτο Εἰρηναῖος ἐν τῷ πρώτῳ τῶν πρὸς τὰς αἱρέσεις, ὁμοῦ τά
τε περὶ αὐτοῦ καὶ τῆς κατ' αὐτὸν αἱρέσεως οὕτω γράφων

›ἀπὸ Σατορνίνου καὶ Μαρκίωνος οἱ καλούμενοι Ἐγκρατεῖς ἀγα- 2
›μίαν ἐκήρυξαν, ἀθετοῦντες τὴν ἀρχαίαν πλάσιν τοῦ θεοῦ καὶ ἠρέμα
›κατηγοροῦντες τοῦ ἄρρεν καὶ θῆλυ εἰς γένεσιν ἀνθρώπων πεποιη-
›κότος, καὶ τῶν λεγομένων παρ' αὐτοῖς ἐμψύχων ἀποχὴν εἰσηγή-
›σαντο, ἀχαριστοῦντες τῷ πάντα πεποιηκότι θεῷ, ἀντιλέγουσί τε τῇ
›τοῦ πρωτοπλάστου σωτηρίᾳ. καὶ τοῦτο νῦν ἐξευρέθη παρ' αὐτοῖς 3
›Τατιανοῦ τινος πρώτως ταύτην εἰσενέγκαντος τὴν βλασφημίαν· ὃς
›Ἰουστίνου ἀκροατὴς γεγονώς, ἐφ' ὅσον μὲν συνῆν ἐκείνῳ, οὐδὲν ἐξέ-
›φηνεν τοιοῦτον, μετὰ δὲ τὴν ἐκείνου μαρτυρίαν ἀποστὰς τῆς ἐκ-
›κλησίας, οἰήματι διδασκάλου ἐπαρθεὶς καὶ τυφωθεὶς ὡς διαφέρων
›τῶν λοιπῶν, ἴδιον χαρακτῆρα διδασκαλείου συνεστήσατο, αἰῶνάς

**17** 368, 15
**2/3** 358, 1—15 — **6—20** Iren. 1, 28, 1

ATERBDMΣΛ

**11** *προειρημένον* TEBDMΣΛ *εἰρημένον* AR | **12** *καὶ Περὶ ἀληθείας α' β'* > Σ | **12/13** *καὶ Πρὸς Ἰουδαίους α' β'* > AΛ Hieron. de uir. ill. 26 | **15** *ἔτι* ADM *ἐπὶ* TERB | **16** *ποιουμένου* AT$^1$MΣΛ *ποιουμένου τοσαῦτα καὶ περὶ τοῦδε λεκτέον* T$^{cm}$ERBD *ποιουμένου τοσαῦτα καὶ αὐτοῦ* T$^r$ | **19** *ἐγκρατιτῶν* AT$^1$D *ἐγκρατητῶν* T$^c$ERBM | **20** *ἀρχομένην* A$^1$ corr., TERD$^r$M *ἀρχομένησ* A$^1$BD$^1$

390 »τινας ἀοράτους ὁμοίως τοῖς ἀπὸ Οὐαλεντίνου μυθολογήσας γάμον
»τε φθορὰν καὶ πορνείαν παραπλησίως Μαρκίωνι καὶ Σατορνίνῳ
»ἀναγορεύσας, τῇ δὲ τοῦ Ἀδὰμ σωτηρίᾳ παρ' ἑαυτοῦ τὴν ἀντιλογίαν
ποιησάμενος«.

ταῦτα μὲν ὁ Εἰρηναῖος τότε· σμικρῷ δὲ ὕστερον Σευῆρός τις 4
τοὔνομα κρατύνας τὴν προδεδηλωμένην αἵρεσιν, αἴτιος τοῖς ἐξ αὐτῆς
ὡρμημένοις τῆς ἀπ' αὐτοῦ παρηγμένης Σευηριανῶν προσηγορίας
γέγονεν. χρῶνται μὲν οὖν οὗτοι νόμῳ καὶ προφήταις καὶ εὐαγγε- 5
λίοις, ἰδίως ἑρμηνεύοντες τῶν ἱερῶν τὰ νοήματα γραφῶν· βλασφη-
μοῦντες δὲ Παῦλον τὸν ἀπόστολον, ἀθετοῦσιν αὐτοῦ τὰς ἐπιστολάς,
392 μηδὲ τὰς Πράξεις τῶν ἀποστόλων καταδεχόμενοι. ὁ μέντοι γε 6
πρότερος αὐτῶν ἀρχηγὸς ὁ Τατιανὸς συνάφειάν τινα καὶ συναγωγὴν
οὐκ οἶδ' ὅπως τῶν εὐαγγελίων συνθείς, Τὸ διὰ τεσσάρων τοῦτο
προσωνόμασεν, ὃ καὶ παρά τισιν εἰς ἔτι νῦν φέρεται· τοῦ δ' ἀποστό-
λου φασὶ τολμῆσαί τινας αὐτὸν μεταφράσαι φωνάς, ὡς ἐπιδιορθού-
μενον αὐτῶν τὴν τῆς φράσεως σύνταξιν. καταλέλοιπεν δὲ οὗτος 7
πολύ τι πλῆθος συγγραμμάτων, ὧν μάλιστα παρὰ πολλοῖς μνημο-
νεύεται διαβόητος αὐτοῦ λόγος ὁ Πρὸς Ἕλληνας, ἐν ᾧ καὶ τῶν
ἀνέκαθεν χρόνων μνημονεύσας, τῶν παρ' Ἕλλησιν εὐδοκίμων ἁπάν-
των προγενέστερον Μωυσέα τε καὶ τοὺς Ἑβραίων προφήτας ἀπέ-
φηνεν· ὃς δὴ καὶ δοκεῖ τῶν συγγραμμάτων ἁπάντων αὐτοῦ κάλλιστός
τε καὶ ὠφελιμώτατος ὑπάρχειν. καὶ τὰ μὲν κατὰ τούσδε τοι-
αῦτα ἦν·

ἐπὶ δὲ τῆς αὐτῆς βασιλείας, πληθυνουσῶν τῶν αἱρέσεων ἐπὶ τῆς Λ 30 1
Μέσης τῶν ποταμῶν, Βαρδησάνης, ἱκανώτατός τις ἀνὴρ ἔν τε τῇ
Σύρων φωνῇ διαλεκτικώτατος, πρὸς τοὺς κατὰ Μαρκίωνα καί τινας
ἑτέρους διαφόρων προϊσταμένους δογμάτων διαλόγους συστησάμενος
τῇ οἰκείᾳ παρέδωκεν γλώττῃ τε καὶ γραφῇ μετὰ καὶ πλείστων ἑτέ-
ρων αὐτοῦ συγγραμμάτων· οὓς οἱ γνώριμοι (πλεῖστοι δὲ ἦσαν αὐτῷ
δυνατῶς τῷ λόγῳ παρισταμένῳ) ἐπὶ τὴν Ἑλλήνων ἀπὸ τῆς Σύρων

ATERBDMΣΛ

**17** γάμον $T^1$RBDM [Hippolyt. 8,16] τὸν γάμον A [vgl. Theodoret. haer. fab. 1, 20. Epiph. 46, 2] γάμον oder τὸν γάμον ΣΛ γάμων $T^c$E Iren$^{lat}$ | **19** ἀναγορεύσασ ATERBDΣΛ Iren ἀπαγορεύσασ M γρ ἀπαγορεύσασ $A^{1m}$ | ἀντιλογίαν $T^1$Σ Iren [vgl. auch 3, 23, 8] γρ ἀντιλογίαν $A^{1m}$ αἰτιολογίαν A$T^c$ERBM ἀπολογίαν D καινολογίαν Λ | **21** σμικρῷ ATER σμικρὸν M μικρὸν BD

**8** καὶ BDM > ATER | **15** nach ποταμῶν + *in Urhai* [*Edessa*] Σ | **18** οἰκείᾳ TERBDM ἰδίαι A | **20** παριστάμενοι Σ

392 *μεταβεβλήκασι φωνῆς· ἐν οἷς ἐστιν καὶ ὁ πρὸς Ἀντωνῖνον ἱκανώ-* 2
*τατος αὐτοῦ περὶ εἱμαρμένης διάλογος ὅσα τε ἄλλα φασὶν αὐτὸν*
*προφάσει τοῦ τότε διωγμοῦ συγγράψαι. ἦν δ' οὗτος πρότερον* 3
*τῆς κατὰ Οὐαλεντῖνον σχολῆς, καταγνοὺς δὲ ταύτης πλεῖστά τε τῆς*
*κατὰ τοῦτον μυθοποιίας ἀπελέγξας, ἐδόκει μέν πως αὐτὸς ἑαυτῷ*
*ἐπὶ τὴν ὀρθοτέραν γνώμην μετατεθεῖσθαι, οὐ μὴν καὶ παντελῶς γε*
*ἀπερρύψατο τὸν τῆς παλαιᾶς αἱρέσεως ῥύπον. ἐν τούτῳ γε μὴν*
*καὶ ὁ τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Σωτὴρ τελευτᾷ.*

ATERBDMΣΔ

**23** *δ'* $T^1$BDM *δ' ἄρα* A, $T^c$ [getilgt], ER | **26** *καὶ παντελῶσ γε* BDM *γε παντελῶσ* A *παντελῶσ* TER | **27** *ἀπερρύψατο* A$T^r$R *ἀπερύψατο* BD *ἀπερρίψατο* $T^1$E *ἀπετρίψατο* M *vernichtete* Σ | **28** *Σωτὴρ* > Σ